τέρας πόλεως. Πρόθεσιν δὲν ἔχω ν' ἀναφέρω ὑμῖν πάντα ὅσα ἤκουσα ἢ ἀνέγνων κατὰ ἢ ὑπὲρ αὐτῶν· τὸ τοιοῦτον ἐθεώρησα ἀνωφελές, ἄσκοπον, μηδεμίαν δυνάμενον νὰ παράσχῃ εὐχαρίστησιν, δυνάμενον τοὐναντίον νὰ ἐγείρῃ ἐν τῇ ὑμετέρᾳ καρδίᾳ δυσαρέσκειαν, καταβιβάζον τὰ πνεύματα ὑμῶν καὶ τὰς ἀκοὰς μέχρι προσωπικοτήτων καὶ μικρολογιῶν. Ἀλλ' ἐν τοσούτῳ συγχωρήσατέ μοι, πρῶτον μὲν νὰ παραπέμψω ὑμᾶς εἰς τὰς παρατηρήσεις τοῦ Κ. Δραγούμη περὶ τῶν ἡμετέρων δημοσίων μαθημάτων (1) καὶ εἰς τὴν κατ' ἐμὲ ἐπιτυχῆ ἀπολογίαν αὐτῶν παρὰ τοῦ ἀξιοτίμου συναδέλφου ἡμῶν Κ. Ἡρ. Βασιάδου (2)· δεύτερον δὲ νὰ εἴπω ὀλίγα τινὰ περὶ τῆς ἐν τῷ προγράμματι συμβάσης ἀταξίας. Τινὲς τῷ ὄντι ἐκ τῶν ἐγγραφέντων δὲν ἐτήρησαν τὴν ὑπόσχεσιν αὐτῶν, εἴτε ἐξ ἀνάγκης, εἴτε, χρεωστῶ νὰ τὸ ὁμολογήσω διὰ νὰ ἦμαι ἐν τῇ ἀληθείᾳ, ἐκ μικροφιλοτιμιῶν κινούμενοι. Λαμβάνω λοιπὸν τὴν τόλμην νὰ συστήσω πᾶσιν ὑμῖν, Κύριοι, τὴν μεγαλητέραν ἀκρίβειαν διὰ τὰ ἐλευσόμενα ἔτη, διότι μυρία ὅσα ἐγέννησε παράπονα ἡ τοῦ προγράμματος ἀταξία. Καὶ ὅμως τὰ μαθήματα κατὰ τὴν ἐξαμηνίαν ταύτην ἐγένοντο πλείονα καὶ εἵλκυσαν ἱκανὸν ἀκροατήριον, θελχθὲν ὑπὸ τῆς πολυμαθείας τῶν ὁμιλησάντων καὶ ὑπὸ τῆς φυσικῆς ὡραιότητος τῶν ἐπιστημονικῶν πειραμάτων. Ἐὰν πρὸς τὸ παρὸν φοιτῶνται ταῦτα χάριν περιεργείας, ἴσως δὲ καὶ διασκεδάσεως χάριν, ἡ μετ' ἀκριβείας καὶ ζήλου ἐπιμονὴ τῶν Ἑλληνικῶν Συλλόγων θέλει καταστήσει αὐτὰ τοσοῦτον ἀναγκαῖα καὶ τερπνά, ὥστε ἡ ἔλλειψις αὐτῶν νὰ φαίνηται ἐπαισθητοτέρα καὶ αὐτῆς τῆς τῶν χορῶν, τῶν θεατρικῶν παραστάσεων καὶ τῶν μουσικῶν συμφωνιῶν, διὰ τὴν ἀπόλαυσιν τῶν ὁποίων τοσαῦται προσπάθειαι καταβάλλονται, καὶ τηλικαῦται ἐπιβάλλονται θυσίαι παρά τε ἡμῶν αὐτῶν καὶ παρὰ τοῦ ὡραίου φύλου ἔτι μᾶλλον. Πρὸς ἐπίτευξιν λοιπὸν τούτου τοῦ σκοποῦ, χρεωστοῦσιν οἱ Σύλλογοι νὰ σκεφθῶσι πῶς δύνανται νὰ καταστήσωσι τὰς δημοσίας διαλέξεις ὅσον ἔνεστι ὠφελιμωτέρας καὶ θελκτικωτέρας, εὐχάριστον ἀποτέλεσμα, εἰς τὸ ὁποῖον ὅμως ἀδύνατον, νομίζω, νὰ φθάσωμεν ἄνευ προθυμίας, τάξεως, ἀκριβοῦς ἐκτελέσεως τοῦ καθήκοντος, πρὸ πάντων δὲ ἄνευ ἀδιακόπων προσπαθειῶν, τὰς ὁποίας δέον νὰ καταβάλλωμεν πάντες μετὰ ζήλου καὶ πόθου πρὸς πλουτισμὸν τῆς τε Βιβλιοθήκης ἡμῶν καὶ τῆς Ὀργανοθήκης. Ἔχοντες ὑπ' ὄψιν, ὅτι πρῶτοι ὑμεῖς, φιλομαθεῖς ἀπόγονοι ἐνδόξων προγόνων, εἰσηγάγετε ἐν τῇ Ἀνατολῇ κατὰ τοὺς νεωτέρους χρόνους τὸν δημοτικώτατον τοῦτον τρόπον τῆς διαδόσεως τῶν γραμμάτων, μὴ ἀποθαρρύνεσθε, φίλτατοι συνάδελφοι, ἀλλὰ τοὐναντίον, πᾶν πρόσκομμα πρὸ τῶν ποδῶν ὑμῶν εὑρισκόμενον παραγκωνίζοντες, βαδίζετε θαρραλέως ἐκτελοῦντες τὴν θεάρεστον καὶ λαοσωτήριον ἐντολὴν τῆς δι' ἀκαμάτου διδασκαλίας ἐξαπλώσεως τῶν φώτων, τὸ ἁπλοῦν ἅμα καὶ ἐνθαρρυντικὸν τοῦτο σύμβολον τῶν ἐπὶ Ἱπποκρατικῇ ἐπιστήμῃ διαπρεπόντων ἀδελφῶν παραδεχθέντες ἅπαντες,

Θαρσεῖν χρή· τάχ' αὔριον ἔσετ' ἄμεινον.

(1) Ἰδ. Φιλ. Σύλλογον. Ἔτος Β'. 1864—1865. σελ. 275.

(2) Αὐτόθι σελ. 279.

ΠΕΡΙ
ΘΡΑΚΙΚΗΣ ΧΕΡΣΟΝΗΣΟΥ.

β) Ἡ Χερσόνησος ὑπὸ Μιλτιάδῃ τῷ Ἀθηναίῳ (*). Π. Χ. 560]59—494).

(Ἀνεγνώσθη ἐν τῇ ΡΝΔ' Συνεδριάσει.)

(Συνέχεια Τόμ. Β'. σ. 221.)

§. 32. Οἱ οὖν Δόλογκοι τὸ τότε πολέμῳ ὑπὸ Ἀψινθίων ταλαιπωρούμενοι καὶ τί κακὸν οὐ πάσχοντες, εἰς Δελφοὺς τοὺς βασιλέας περὶ τοῦ πολέμου χρησομένους πέμπουσιν. Ἀνεῖλε δ' αὐτοῖς ὁ θεὸς τοῦτον οἰκιστὴν καὶ ἡγεμόνα κράτιστον ἐπαγαγέσθαι, ὃς ἂν αὐτὸς ἀπὸ τοῦ μαντείου ἐπανιόντας ἐπὶ ξενίαν καλέσῃ. Ἐπανιόντας δὲ διὰ τῆς οὕτω καλουμένης ἱερᾶς ὁδοῦ οὐδεὶς ἐκάλεσεν, εἰς δὲ Ἀθήνας τραπομένους Μιλτιάδης ὁ Κυψέλου (1) ἐπὶ θύραις ὢν ἐνέτυχε καὶ ἐπὶ

(*) Αἱ §§ 9.—14 οὐ καλῶς τῶν §§ 15—31 προταχθεῖσαι μετὰ ταύτας νοείσθωσαν κείμεναι.

(1) Μαρκελλῖνος (ἐν Βίῳ Θουκυδίδου 3) ὧδε Μιλτιάδην ἐγενεαλόγησε: « Φιλαίας δὲ ὁ Αἴαντος οἰκεῖ ἐν Ἀθήναις· ἐκ τούτου δὲ λέγεται Δάϊκλος, τοῦ δὲ Ἐπίδυκος, τοῦ δὲ Ἀκέστωρ, τοῦ δὲ Ἀγήνωρ, τοῦ δὲ Ὄλιος, τοῦ δὲ Λύκης, τοῦ δὲ Τύφων, τοῦ δὲ Λάϊος, τοῦ δὲ Ἀγαμήστωρ, τοῦ δὲ Τίσανδρος (ἐφ' οὗ ἄρχοντος ἐν Ἀθήναις *) (ἔνθα Poppo, Woemel καὶ ἄλλοι ὀρθῶς προγραπτέον εἶναι διὰ τό που ἐκρυὲν εἴκασαν καὶ Κύψελος), τοῦ δὲ Μιλτιάδης, τοῦ δὲ Ἱπποκλείδης, ἐφ' οὗ ἄρχοντος Παναθήναια ἐτέθη, τοῦ δὲ Μιλτιάδης, ὃς ᾤκισε Χερσόνησον. » Μιλτιάδης δ' ἔσχεν ἀδελφὸν ὁμομήτριον Κίμωνα τὸν δι' εὐήθειαν κληθέντα Κοάλεμον υἱὸν Στησαγόρα· Κίμων δὲ υἱεῖς ἔσχε Στησαγόραν, τὸν Μιλτιάδην πρῶτον οἰκιστὴν Χερσονήσου διαδεξάμενον, καὶ Μιλτιάδην τὸν Μαραθώνιον· ὅρα δέ μοι Ἡροδ. VI, 36. 103 ed. K. Abicht.

(1) Ἡροδ. VI, 34. 35. πρβλ. Μαρκελλ. Βίῳ Θουκ. 7. Cornel. Nepot. Milt. I, ὃς τὰ ἀμφοῖν τοῖν Μιλτιάδαιν πεπραγμένα ἐνὶ συγγέας παρασχεῖν φαίνεται. Διογένης δ' αὖ ὁ Λαέρτιος (1, 2) τὴν ἀποικίαν Σόλωνος γνώμῃ γενέσθαι εἴρηκε (Π. Χ. 559). Ὅτι δὲ Καρδίᾳ ἀποίκους ἐπέβαλε Σκύμνος φησὶ (στίχ. 704—). Στράβων (VII Epit. 52 Cram.) Πακτύῃ (Σκύμν. 711). Κρηθωτῇ (Ἔφορος παρ' Ἁρποκρατίωνι ἐν λ. Σκύμν. στίχ. 711. Σουΐδας ἐν λ.) Ἀλωπεκοννήσῳ (Ἐτυμολογ. Μέγα ἐν λ.) Παρβλ. καὶ τὰ ἐν τοῖς ἔμπροσθεν περὶ τῶν πόλεων ἑκάστων.

(2) Ἡροδ. VI, 37.

(3) Αὐτόθι.

ξενίαν ἐκάλεσέ τε καὶ ξυνήγαγεν. Ἦρχε δὲ τηνικαῦτα Ἀθηναίων μὲν Πεισίστρατος, Λυδῶν δὲ Κροῖσος· μετὰ δὲ Πεισίστρατον Ἀθήνησιν ἴσχυε Μιλτιάδης, ὃς τούτους ἰδὼν πλανητῶν ἔχοντας στολὴν καὶ οὐκ ἐγχωρίων ἐπὶ ξενίαν καλεῖ· οἱ δ' οὖν Δόλογκοι ξενιζόμενοι τὸ μαντεῖόν οἱ ἐξέφηναν δεόμενοι ἅμα τῷ θεῷ πείθεσθαι καὶ ἀναλαβεῖν τὴν ἡγεμονίαν. Ταῦτα Μιλτιάδης ἀκούσας ἐπείθετο ἄχθει τὸ πλεῖστον τῇ Πεισιστράτου ἀρχῇ. Καὶ δὴ αὐτίκα μάλα εἰς Δελφοὺς ἀπῆλθε χρησόμενος τὰ περὶ τούτου, θεοῦ δὲ συναινοῦντος, γνώμῃ δὲ ὥς φασιν ἔνιοι καὶ Πεισιστράτου, παραλαβὼν Ἀθηναίων τὸν βουλόμενον μετὰ δυνάμεως ἔπλει εἰς Χερσόνησον· οἳ τὸν ἰσθμὸν ἀπὸ Καρδίας μέχρι Πακτύης ἀποτειχίσας, τρόπῳ δὲ τοιῷδε τοὺς Ἀψινθίους τὴν χώραν ἐπινεμομένους ἀπωσάμενος, ταῖς δὲ τῶν πόλεων Καρδίᾳ καὶ Πακτύῃ, Κρηθωτῇ καί που καὶ Ἀλωπεκοννήσῳ ἀποίκους ἐπιβαλών, οἰκιστής τε ἐγένετο καὶ τύραννος ὑπ' αὐτῶν τούτων καταστὰς τῶν ἐπαγαγομένων (Π. Χ. 560]59) (1). Μετὰ δὲ τὸν ἀποτειχισμὸν πρώτοις τῶν λοιπῶν Μιλτιάδης ἐπολέμησε, Λαμψακηνοῖς ὑφ' ὧν μέν τοι ἐνέδρᾳ ζωγρεῖται, μόνον δὲ διὰ Κροῖσον λύεται τὸν Λυδῶν ἐκείνοις συνήθη τυγχάνοντα (2). Καὶ πρὸς ἕτερους πόλεμον ἐξήνεγκεν ὁ Μιλτιάδης, καὶ πρὸς Ἄρατον δοκεῖ τινα, ὡς τὸ μὲν Ἡρόδοτος ὑποδηλοῖ φὰς « τῶν λοιπῶν πρώτοισι ἐπολέμησε τοῖσι Λαμψακηνοῖσι (3), » τὸ δὲ Παυσανίας μεμνημένος Διὶ τῷ Ὀλυμπίῳ ἀναθήματος, ἐφ' ᾧ ἐπεγέγραπτο τάδε·

» Ζηνὶ μ' ἄγαλμ' ἀνέθηκαν Ὀλυμπίῳ ἐκ Χερσονήσου Τεῖχος ἑλόντες Ἀράτου· ἐπῆρχε δὲ Μιλτιάδης σφίν (1). »

§. 33. Ἅπαις δὲ μετὰ ταῦτα τελευτήσας τήν τε ἀρχὴν κατέλιπε καὶ τὰ χρήματα πάντα Στησαγόρᾳ Κίμωνος ἀδελφοῦ ὁμομητρίου (2)· θύουσι δέ οἱ τελευτήσαντι Χερσονησῖται, τιμαῖς δὲ οἷα οἰκιστὴν καὶ ἀγῶσι γεραίρουσιν, ἐν οἷς πλὴν Λαμψακηνῶν, πρὸς οὓς ἐκεῖνος πόλεμον ἐξενηνόχει, πᾶσιν ἦν ἀγωνίζεσθαι· ἀλλὰ μὴν καὶ Στησαγόρας πάλιν αὖ Λαμψακηνοῖς πολεμῶν ἅπαις τὸν βίον κατέστρεψεν ὑπό του αὐτομόλου μὲν λόγῳ, ἔργῳ δὲ πολεμίου τὴν κεφαλὴν πελέκει βληθεὶς ἐν τῷ Πρυτανείῳ (3). Τρόπῳ δὲ τοιῷδε καὶ Στησαγόρα τελευτήσαντος οἱ Πεισιστρατίδαι Μιλτιάδην Β' τὸν Κίμωνος, Στησαγόρᾳ ὁμοπάτριον ἀδελφὸν καὶ ὁμομήτριον, τὸν Μαραθώνιον, ἐπὶ Χερσόνησον πέμπουσιν οἷον ἐπὶ κτῆσιν βεβαίαν. Ὁ δ' οὖν Μιλτιάδης ἀφικόμενος, ὁρῶν δὲ Χερσονησίτας ἐπὶ τῇ τῶν ξένων ἀρχῇ δυσφοροῦντας, ἔνδον ὡς τὰ πολλὰ διῆγεν ἐπὶ τῇ τοῦ ἀδελφοῦ ξυμφορᾷ βαρέως δῆθεν φέρων· ὃ δὴ Χερσονησῖται πυθόμενοι ἐξ ἁπασῶν οἱ ἄριστοι τῶν πόλεων ξυλλυπηθησόμενοι παρεγένοντο. Μιλτιάδης δὲ δήσας ἐγκαθεῖρξέ τε καὶ τῆς Χερσονήσου κρατήσας (Π. Χ. 515) πεντακοσίους εἶχεν ἑαυτῷ ἐπικούρους, Ὀλόρου δὲ τοῦ Θρᾳκῶν βασιλέως τὴν θυγατέρα Ἡγησιπύλην εἰς γάμον ἠγάγετο (4)· βασιλικῇ δὲ χρώμενος δυνάμει εἰ καὶ τὴν ἐπωνυμίαν μὴ περιεβέβλητο, ἀλλὰ μὴν ἐτυράννευσε δικαίως (5), τείχεσί τε ἐχυροῖς τὴν χώραν ἀσφαλῆ ἀπεργασάμενος, τοὺς ἑκάστοτε ἐπιτρέχοντας Θρᾷκας καὶ ληΐζομένους Ἀθηναίοις, οὓς Ἀθήνηθεν συνεπηγάγετο, εὐχερῶς ἀπεώσατο, ταῖς δ' ἐπιδρομαῖς συνεχῶς γιγνομέναις τούτους ἐπλούτισε, Λῆμνον δὲ τὴν νῆσον δόλῳ ἑλὼν Ἀθηναίοις ἐδωρήσατο τοῖς ἐκπέμψασι (6).

§. 34. Μετὰ δὲ τὴν τῶν Ἰώνων κατάληψιν τῆς κατ' Ἀσίαν Ἑλλησποντιακῆς ἀκτῆς ὑποφόρου

(1) Παυσαν. VI, 19. 6.

(2) Ἡροδ. VI, 103.

(3) Ἡροδ. VI, 38.

(4) Ἡροδ. VI, 39. Μαρκελλῖνος δὲ (Βίῳ Θουκ. 12) φησὶ « Μιλτιάδης οὖν, ὄντων αὐτῷ παίδων ἐξ Ἀττικῆς γυναικός, ὅμως ἐπιθυμῶν δυναστείας λαμβάνει Θρᾳκῶν βασιλέως Ὀλόρου θυγατέρα Ἡγησιπύλην. »

(5) Cornel. Nepot. Miltiad. II.

(6) Ἡροδ. VI, 140. Cornel. Nepot. Miltiad. I.

τῷ βασιλεῖ γενομένης, καὶ τὸν Χερσονήσου ἀνάγκη τύραννον, καί περ Ἀθήνηθεν, ἐπικουρεῖν Πέρσαις κατὰ τὸ ἐνόν (1). Δαρείῳ γὰρ τῷ Ὑστάπους ὀλίγῳ ὕστερον τοὺς μέσον Ἴστρου καὶ Τανάΐδος Σκύθας καταστρέψασθαι ἐφιεμένῳ καὶ στρατεύσαντι, ἄλλοι τε ἐν τῇ στρατείᾳ ἔσποντο τῶν ἐν Ἀσίᾳ Ἑλληνίδων πόλεων τύραννοι, καὶ δὴ καὶ Μιλτιάδης Χερσονήσου (2), οἷς ἡ φυλακὴ τῆς γεφύρας ἐπετράπη τῆς ἐπὶ Ἴστρον. Τῶν δὲ Σκυθῶν τοῖς Ἕλλησι μηχανωμένων τὴν τῆς σχεδίας κατάλυσιν, Μιλτιάδης μὲν τοῦ πράγματος ὑπερεμάχησεν, Ἰστιαῖος δὲ ὁ Μιλήτου τῆς Ἰωνικῆς ἐνέζη ἄλλα τε προβαλλόμενος, καὶ τὴν ἑαυτῶν μετὰ τοῦτο κατάλυσιν ὑπὸ τῶν οἰκείων (3). Ὁ δὲ βασιλεὺς δεδυστυχηκὼς ἐν τῇ στρατείᾳ εἰς Σηστὸν ὑποστρέφει, ἐκεῖθεν δ' εἰς Ἀσίαν, Μεγάβαζον ἐν Εὐρώπῃ καταλιπών, ὅπως τὴν Θράκην πᾶσαν ὑπὸ Πέρσαις ποιήσεται· μεθ' ὃ Μεγάβαζος τὴν ἐπὶ Σάρδεις τρέπεται καταλιπὼν Ὀτάνην ὕπαρχον καὶ τῆς στρατηγίας διάδοχον, τότε Βυζαντίους ἑλόντα καὶ Χαλκηδονίους, Ἀντανδρόν τε τὴν ἐν Τρῳάδι γῇ, καὶ Λαμπώνιον, νησὶ δὲ παρὰ Λεσβίων Λῆμνον καὶ Ἴμβρον ἔτι τότε ὑπὸ Πελασγῶν οἰκουμένας (4). Τὸ τηνικαῦτα δὴ οἱ Σκύθαι βαρέως φέροντες καὶ ἐπ' αὐτὴν ἥλασαν λῃσόμενοι τὴν Χερσόνησον· οὓς περ Μιλτιάδης ἑαυτὸν ὁρῶν οὐ μενοῦντα, ἀπεχώρει μὲν τῆς χώρας, οὐ πολλῷ δ' ὕστερον ὑπ' αὐτῶν κατάγεται τῶν ἐνοίκων μετὰ τὴν Σκυθῶν ἀπαλλαγήν, αὐτόθι δ' ἔτη τρία παρέμεινε (5). Ἐν δὲ τούτῳ καὶ τῶν κατ' Ἴωνας γενομένων ὁ Μιλτιάδης ἐν Χερσονήσῳ τὸν Περσικὸν πυνθανόμενος στόλον παραπλεῖν εἰς Τένεδον (Π. Χ. 494) ἐν οὐκ ἀσφαλεῖ ὁρῶν ἑαυτὸν διὰ τὴν εἰς Ἴστρον βουλήν, πέντε ὧν εἶχε χρημάτων νῆας πληρώσας, ἀπέπλει ἐκ Καρδίας διὰ τοῦ Μέλανος Ἀθήναζε, μόγις κατὰ τὸν διάπλουν ἐκφυγὼν τὸν θάνατον· οἱ γὰρ τῷ στόλῳ ἐφεστῶτες Φοίνικες περιπεσόντες, αὐτὸν μὲν ταῖς τέσσαρσιν εἰς Ἴμβρον καταφυγεῖν ἠνάγκασαν, τὸν δ' υἱὸν Μητίοχον τῆς πέμπτης ἄρχοντα ἅμα ταύτῃ κατέλαβον (1). Μέχρι μὲν ὧδε ἡ Χερσόνησος ὑπ' Ἀθηναίοις ἦν.

(1) Ἡροδ. III, 90. πρβλ. 96. Καὶ τύραννοι δὲ ὑπὸ βασιλέως ταῖς πόλεσιν ἐτάχθησαν, Δάφνις Ἀβύδῳ, Ἱπποκλος Λαμψάκῳ, Ἡρόφαντος Παρίῳ, Μητρόδωρος Προικονήσῳ, Ἀρισταγόρας Κυζίκῳ, Ἀρίστων Βυζαντίῳ. Ἡροδ. IV, 138.
(2) Ἡροδ. IV, 137. Cornel. Nepot. Miltiad. III.
(3) Ἡροδ. IV, 137. πρβλ. IV, 98.
(4) Ἡροδ. IV, 143. πρβλ. V, 2. 23. 25. 26. 123.
(5) Ἡροδ. VI, 40.

γ') Ἡ Χερσόνησος ὑπὸ Πέρσαις. (Π. Χ. 494—469).

§. 35. Μιλτιάδου δὲ διαδράντος ἡ Χερσόνησος καταληφθεῖσα οὕτω δὴ καὶ πόλ' ὑπὸ Φοινίκων πυρὶ καὶ σιδήρῳ παθοῦσα (2), ὑπὸ Πέρσαις ἐγένετο ὑπάρχους ἐν αὐτῇ καταστήσασι πανταχῇ (3) (καὶ αὐτῆς Καρδίας προσχωρησάσης ὕστερον). Διόπερ Μαρδόνιον πρῶτον ἐπὶ τὴν Ἑλλάδα στρατεύσαντα οἱ Χερσονησῖται διὰ τῆς ἑαυτῶν ἐθεάσαντο (Π. Χ. 492), οὐ πολλῷ δ' ὕστερον εἰς Ἀσίαν διχῇ ἐν τῇ στρατείᾳ προσπταίσαντα, ναυσὶ μὲν πρὸς Ἄθω, πεζῇ δὲ πρὸς Βρίγας τοὺς ἐν Θράκῃ (4). Ἐφεξῆς δὲ Δάτιδος καὶ Ἀρταφέρνους τῶν στρατηγῶν ἐν Μαραθῶνι ἀτυχησάντων (Π. Χ. 490), ἡ τρίτη ἐπεγένετο στρατεία δεινὴ κατά τε γῆν καὶ θάλασσαν αὐτοῦ Ξέρξου μετὰ Δαρεῖον θανόντα ἡγουμένου. Ὅτε δὴ τοῦ μὲν στόλου εἰς Ἐλαιοῦντα προσορμισαμένου (5), ὁ τὴν Χερσόνησον πρὸς ἠῶ περιῤῥέων *ἅλιος πρὼν* σχεδίαις δυσὶ νηῶν ὑπ' Αἰγυπτίων καὶ Φοινίκων ἐζεύγνυτο, ἔωθεν μὲν ἐξ Ἀβύδου ἀρχομέναις, δυσμόθεν δ' εἰς τὸ τῇδε κατέναντι Χερσονήσου πετρῶδες καθηκούσαις ἀκρωτήριον, Σηστοῦ μέσον καὶ Μαδύτου κείμεναι (Π. Χ. 480)· ὧν τῇ μὲν πρὸς Πόντον οἱ ἄνδρες, τῇ δὲ πρὸς Αἰγαῖον τὰ ὑποζύγια καὶ ἡ θεραπεία διέβαινον (6)· τῶν δὲ πρῶτον λυθεισῶν σφοδραῖς ἀνέμων πνοαῖς, ἕτεραι ἐπάγησαν εὐσταθέστεραι (7). Ἡ οὖν στρατιὰ ἐν ἡμέραις ἑπτὰ καὶ ἴσαις νυξὶ διὰ τῶν ζευγμάτων βαίνοντες διὰ Χερσονήσου τὴν ὁδὸν ἐποιοῦντο πρὸς ἠῶ τε καὶ ἀνατολὰς ἡλίου, ἐν μὲν δεξιᾷ τὸν τάφον ἔχοντες Ἕλλης τῆς Ἀθάμαντος, Καρδίαν δὲ λαιᾷ πόλιν, διὰ μέσης πορευόμενοι πόλεως, ᾗ ἐπίκλησις Ἀγορά· ἐκεῖθεν δὲ πρὸς Θράκην ἦεσαν καὶ Ἑλλάδα (1). Ταῦτα δὲ τῶν τις Χερσονησιτῶν (Ἑλλησπόντιος) ὁρῶν εἰπεῖν λέγεται θάμβει συνεχόμενος « ὦ Ζεῦ, τί δὴ ἀνδρὶ εἰδόμενος Πέρσῃ καὶ οὔνομα ἀντὶ Διὸς Ξέρξεα θέμενος ἀνάσατον τὴν Ἑλλάδα ἐθέλεις ποιῆσαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ τούτων ἐξῆν σοι ποιέειν ταῦτα (2). »

(1) Ἡροδ. 41. Μαρκελλ. ἐν Βίῳ Θουκ. 12. Μητίοχον οὐδὲν ὁ Δαρεῖος κακὸν ἐποίησεν, ἀλλὰ καὶ οἶκον καὶ κτῆσιν ἔδωκε καὶ Περσίδα γυναῖκα, ἐκ τῆς οἱ τέκνα ἐγένετο, τὰ εἰς Πέρσας κεκοσμέαται. Ἡροδ. αὐτόθι.
(2) Ἡροδ. VI, 33. « Οἱ δὲ Φοίνικες κατακαύσαντες ταύτας τὰς χώρας τὰς καταλεχθείσας τρέπονται ἐπί τε Προκόννησον καὶ Ἀρτάκην... »
(3) Ἡροδ. VII, 106.
(4) Ἡροδ. VI, 43. 45.
(5) Ἡροδ. VII, 21.
(6) Ἡροδ. VII, 33. 36. 55.
(7) Αὐτόθι VII, 34. 36.

§. 36. Ὑπὸ γοῦν Πέρσαις οἱ Χερσονησῖται (ἐτυράννευον γὰρ Ξέρξου ὕπαρχοι, Ἀρταΰκτης ὁ Χεράσμιος Σηστοῦ) (3) ἐπὶ τὴν Ἑλλάδα καὶτοὶ ἦεσαν τοῖς δεσπόταις συντασσόμενοι, μᾶλλον δὲ ἐν ταῖς ναυσὶν ὑπηρέτουν, ἐσκευασμένοι ὡς Ἕλληνες, ἅτε χώραν θαλάσσῃ περιῤῥεομένην ἔχοντες καὶ τοῖς ναυτικοῖς πλέον ἐπιδεδωκότες (4). Μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν (Π. Χ. 480), ἐν ᾗ τό τε βαρβαρικὸν ἡττήθη καὶ βασιλεὺς ὁ Περσῶν τὴν πρὸς Ἀσίαν ἐτράπετο καταναυμαχηθείς (5), ἔτει δ' ἐνὶ ὕστερον καὶ τῆς Πλαταιᾶσι γενομένης πεζομαχίας καὶ τῆς παρὰ Μυκάλην (6), ἡ Χερσόνησος μετ' οὐ πολὺ τοῦ Πέρσαις τελεῖν ἀπηλλάγη, Ἀθηναίοις τοῖς πρότερον ἄρχουσι προστεθεῖσα. Ὁ γὰρ παρὰ Μυκάλην ναυλοχῶν τῶν Ἑλλήνων στόλος ἐπὶ Ἑλλήσποντον πρὸς τῶν γεφυρῶν τραπόμενος τὴν διάλυσιν, ταύτας τοῖς κύμασιν εὑρὼν λελυμένας, διχῇ ἀπεσχίσθη, τῶν μὲν Λακεδαιμονίων οἴκαδε καὶ τῶν ξυμμάχων, τῶν δ' αὖ Ἀθηναίων Ξανθίππου ἡγουμένου ἐπὶ τὴν πάλαι τραπομένων περισπούδαστον Χερσόνησον· ἣν μέντοι οὐκ ἐκ τοῦ παραχρῆμα κατέσχον, Σηστὸν δὲ τὴν τῶν ταύτῃ καιριωτέραν πόλεων ἐπολιόρκουν ἀντέχουσαν, ἀμυνομέων Αἰολέων τῶν ἐγχωρίων καὶ Περσῶν ἅμα τούτοις τῶν κρατούντων, Ἀρταΰκτου ἄρχοντος, δυσσεβοῦς ἀνδρὸς, πόλλ' Ἐλαιουσίοις δυσσεβήσαντος ἐν αὐτῷ τῷ Πρωτεσιλαείῳ πρότερον Ξέρξου ἐν Ἑλλάδι πολεμοῦντος (1). Ἦκε δ' ἐπίκουρος Οἰόβαζος ἀνὴρ Πέρσης ἐκ Καρδίας. Οὗτοι Ἕλληνας ἐπελθόντας πυθόμενοι, καί τοι παρασκευῆς οὐκ οὔσης, ἐκλείοντο ἐν αὐτῇ ἀμυνόμενοι. Τῆς δεπολιορκίας παρατεινομένης καὶ τῶν ἐπιτηδείων ἐπιλιπόντων τοῖς ἔνδον, ἔδοξεν αὐτοῖς νύκτωρ ἐξελθεῖν ἐκ τοῦ ὄπισθεν τοῦ τείχους· καὶ δὴ ἐξῆλθον Πέρσαι τε καὶ Οἰόβαζος. Πρῶτας δὲ γενομένης παρὰ τῶν ἐν πύργοις φρουρούντων Χερσονησιτῶν ἀγγέλλεται Ἀθηναίοις ἡ Περσῶν ἐκφυγὴ, παρ' αὐτὰ τοὺς βαρβάρους ἀπελάσαι πορευθεῖσιν. Καὶ Οἰόβαζον μὲν φεύγοντα Ἀψίνθιοι αἱροῦσιν καὶ τῷ σφετέρῳ θεῷ Πλειστώρῳ θύουσιν, ὡς δ' οὕτως Ἀρταΰκτην διώκοντες καταλαμβάνουσιν ἐν Αἰγὸς ποταμοῖς καί περ ἐπὶ μακρὸν ἀντισάντα· τοῦτον δὲ δείσεσιν οἷς ἠσεβήκει Ἐλαιουσίων ἀνεκρέμασαν ἐπὶ τὸ πετρῶδες τῆς Χερσονήσου ἀκρωτήριον, ἢ, ὡς ἕτεροι, ἐπὶ τὸν ἄνω Μαδύτου κολωνὸν, λαβόντα οὕτω τὰ τῆς δυσσεβείας ἐπιτίμια (2). Ἀλλ' ὅμως καί τοι Σηστοῦ ἁλούσης καὶ φρουρᾶς Ἀθηναίων ἐν αὐτῇ καταλειφθείσης (3) καὶ τῶν πλείστων βασιλέως ἀποσάντων, ἡ Χερσόνησος οὐ πᾶσα ὑπ' Ἀθηναίοις ἐγένετο, ὡς οὗτοι ἀπηλλάγησαν (4). Βραχύ τι γὰρ ὕστερον Πέρσαι τῶν Θρᾳκῶν ἀρήγειν προθυμουμένων τὴν Σηστὸν ἀνεκτήσαντο (5), ἕως Κίμων ὁ Μιλτιάδου, ἐπεὶ τῶν Περσῶν τινες τὴν Χερσόνησον ἐκλιπεῖν οὐκ ἠβούλοντο, Θρᾳκῶν τῶν προσβόρων ἐπ' ὠφελίᾳ καλουμένων, ὀλίγαις τισὶν μετὰ τὴν ἐπ' Εὐρυμέδοντι μάχην ἐκπλεύσας τριήρεσιν αὐτῶν τε καὶ Θρᾳκῶν ἐκράτησε, τὴν δὲ Χερσόνησον Ἀθηναίοις περιεποίησε (Π. Χ. 449) (6).

(1) Αὐτόθι VII, 56. 58.
(2) Αὐτόθι.
(3) Ἡροδ. VII, 33. 78. « Μάκρωνας καὶ Μοσυνοίκους (συνέτασσεν) Ἀρταΰκτης ὁ Χεράσμιος, ὃς Σηστοῦ τῆς ἐν Ἑλλησπόντῳ ἐπετρόπευε. » Καὶ ὁ αὐτὸς IX, 116. « Ἐτυράννευε δὲ τούτου τοῦ νομοῦ Ξέρξου ὕπαρχος Ἀρταΰκτης »· καὶ Καρδίης ὕστερον δοκεῖ Οἰόβαζος εἶναι ὕπαρχος· αὐτόθι IX, 115.
(4) Ἡροδ. VII, 95. Ἑλλησπόντιοι δὲ πλὴν Ἀβυδηνῶν (Ἀβυδηνοῖσι γὰρ προσετέτακτο ἐκ βασιλέως κατὰ χώραν μένουσι φυλάκους εἶναι τῶν γεφυρέων) οἱ δὲ λοιποὶ οἱ ἐκ τοῦ Πόντου στρατευόμενοι παρείχοντο μὲν ἑκατὸν νέας, ἐσκευασμένοι δὲ ἦσαν ὡς Ἕλληνες· οὗτοι δὲ Ἰώνων καὶ Δωριέων ἄποικοι. » Οὗτοι δὲ ἦσαν οἱ Κύζικον οἰκοῦντες καὶ Προικόννησον καὶ Λάμψακον, Πέρινθόν τε καὶ Ἄβυδον Ἰώνων ἄποικοι· Δωριέων δὲ δὲ οἱ Χαλκηδόνα οἰκοῦντες, Σηλυβρίαν καὶ Βυζάντιον. Ὅρα τὸ αὐτόθι τοῦ Abicht σχόλιον.
(5) Ἡροδ. VIII, 117. πρβλ. IX, 114. 115.
(6) Ἡροδ. IX, 114.

δ') Ἡ Χερσόνησος ὑπ' Ἀθηναίοις. (Π. Χ. 469—405).

§. 37. Ἐν τούτῳ δὲ συνεχῶς ἡ Χερσόνησος ὑπὸ Θρᾳκῶν τῶν ὁμόρων πόλ' ὑφίστατο καὶ πολέμους εἶχε συχνοὺς καὶ βαρεῖς. Ἵνα οὖν οἱ Ἀθηναῖοι τοὺς ἐνοικοῦντας ἐξ Ἑλλήνων τὸ πλεῖζον, Ἀθηναίων μάλιστα, τὸ γένος ἔλκοντας, τῶν ξυμφορῶν ἀποσπάσωνται, στρατηγίαν ἐκεῖσε διὰ Περικλέους πέμπουσι Χερσονησίταις λυσιτελῆ τὰ

(1) Ἡροδ. IX, 114—.
(2) Ἡροδ. IX, 118. 119. 120. πρβλ. VII, 33.
(3) Διοδ. XI, 37.
(4) Ἡροδ. IX, 120. Θουκ. 1, 89, 2. Διοδ. αὐτόθι.
(5) Πολυαίν. 1, 3.
(6) Πλουτ. Κίμ. Πολυαίν. αὐτόθι.

μάλιστα, ἔτι δ' ἐποίκους χιλίους, κληρούχους οὓς φασι, καὶ τὸν ἰσθμὸν αὖθις τειχίζουσιν ἐκ θαλάσσης εἰς θάλασσαν, ἔρκος ταῖς Θρᾳκῶν ἐπιδρομαῖς (1). Οὕτω δὲ (Π. Χ. 452) Ἀθηναίοις ὑπόφορος ἐγένετο (2), ὡς ἐν τοῖς φορολογικοῖς δηλοῦται πίναξι, ἐν οἷς Ἀλωπεκόννησος, Καλλίπολις, Ἐλαιοῦς, Λίμναι, Μάδυτος, Σηστὸς, Ἀγορὰ ἡ Χερρόνησος συγκατειλεγμέναι κεῖνται ἅμα, ὡς εἰκὸς, ταῖς ἐλάσσοσιν, ὧν μόνη Καρδία, ἀνθ' ὅτου δὲ οὐκ ἴσμεν, ἐξηρημένη φαίνεται (3). Ἡσυχάσασα οὖν καὶ οὐκ ὀλίγον ἐπιδοῦσα, ἐνεπλάκη ἄκουσα ταῖς ἄρκυσι τοῦ ὕστερον τὴν Ἑλλάδα ξύμπασαν ἀνακυκάσαντος ὀλεθριωτάτου πολέμου, τοῦ Πελοποννησιακοῦ, οἷς ἐτέλει Ἀθηναίοις ἄνδρας παρεχομένη καὶ χρήματα (4). (Π. Χ. 431).

§. 38. Ἀτυχησάντων δὲ τῶν Ἀθηναίων ὕστερον περί τε Σικελίαν καὶ ἀλλαχῆ, ἔτει τοῦ πολέμου πρώτῳ καὶ εἰκοστῷ (Π. Χ. 411), πολλῶν δὲ τῶν ξυμμάχων ἀφισταμένων, αὐτοῦ δὲ τοῦ πολέμου περὶ Ἑλλήσποντον ὡς τὰ πολλὰ διαπραττομένου, οὐκ ὀλίγα τῇ Χερσονήσῳ κήδε' ἐπεκρέματο. Ἡ μὲν γὰρ Λάμψακος ἀντίον Χερσονήσου κατ' Ἀσίαν καὶ Ἄβυδος ἐλθόντος Δερκυλλίδα τοῦ Λακεδαιμονίου ἐκ Μιλήτου εἰς Ἑλλήσποντον ἐνιαυτῷ τῷδε ἀπέστησαν πρὸς τοῦτον καὶ Φαρνάβαζον· οὐ πολλῷ δὲ ἐπελθόντος Στρομβιχίδου ναυάρχου Ἀθηναίων ἥ τε Λάμψακος αὐτοβοεὶ ἀνεκτήθη, καὶ Σηστὸς, πόλις Χερσονησῖτις, φρούριον κατέσχε καὶ φυλακὴ παντὸς τοῦ Ἑλλησπόντου (5). Λακεδαιμόνιοι δὲ παραυτίκα ναυσὶν ἑκκαίδεκα Ἑλλήσποντον εἰσέπλευσαν καὶ Χερσονήσου μοῖραν ἐπέδραμον (6). Ἐν τούτῳ δὲ Ἀλκιβιάδης φεύγων τρία περὶ Πακτύην ἐχυρὰ κατεστήσατο φρούρια, ἀφ' ὧν Θρᾳξὶ τοῖς ὁμόροις τὴν χώραν ἐπινεμομένοις ἤϊεν (7).

(1) Πλουτ. Περικλ. ΙΑ'. Διοδ. XI, 88.
(2) Θουκ. Η', 9, 3. « καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι. . . . Ἑλλήσποντος. » (Hoc nomen omnes urbes graecas tam Asiae, quam Europae ad hoc fretum, Propontidem, et Bosphorum sitas complecti videtur. E. F. Poppo).
(3) Boeckh' s Staatshaushalt. II, 659.
(4) Θουκ. Β', 9, 5. « Τούτων (ξυμμάχων) ναυτικὸν παρείχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι· οἱ δὲ ἄλλοι πεζὸν καὶ χρήματα. » πρβλ. Ξεν. Ἑλλ. I, 3, 8. Διοδ. XIII, 66. Πλουτ. Ἀλκιβ. 30.
(5) Θουκ. Η', 62.
(6) Αὐτόθι Η', 99, 3.
(7) Πλουτ. Ἀλκιβ. 36. Λύσανδρ. 10. Ξενοφ. Ἑλλην. 1, 5, 17. Διοδ. XIII, 74. Cornel. Nepot. Alcibiad. 7.

Εἶτα δὲ Ἀθήνησι τῆς καθόδου ψηφισθείσης ἄλλων τε καὶ Ἀλκιβιάδου, τὰ περὶ τούτου οἱ Λακεδαιμόνιοι πυθόμενοι, ἅμα δὲ καὶ τῇ Τισσαφέρνους ἀπιστίᾳ ἀχθόμενοι (ὑπισχνεῖτο γὰρ αὐτοῖς τοὺς μισθοὺς), ναύαρχον ἀντὶ Ἀστυόχου Μίνδαρον ἐπέστησαν, πρὸς δὲ Φαρνάβαζον ἐν Ἑλλησπόντῳ ἔπεμψαν· ὃς σπουδῇ πρὸς Ἑλλήσποντον ἔπλει τὸν περὶ Ἐρεσσὸν τῆς Λέσβου τῶν Ἀθηναίων ὑπεκφεύγων στόλον. Οἱ δ' αὖ Ἀθηναῖοι τὴν τούτου πυθόμενοι ὑπεκφυγὴν, τὴν δ' Ἐρεσσοῦ πολιορκίαν λύσαντες, ὡς εἶχον τάχους εἰς Ἑλλήσποντον ἔπλεον, εἰς δ' Ἐλαιοῦντα ὁρμισάμενοι, ναυμαχῆσαι παρεσκευάζοντο· καὶ ἐναυμάχησαν ἀντιπαραταξάμενοι ἀπὸ Σηστοῦ μέχρι Κυνοσήματος, τῶν πολεμίων ἀντιπέραν κατ' Ἄβυδον μέχρι Δαρδάνου τεταγμένων· ἐνίκησαν δὲ ναυμαχοῦντες Ἀθηναῖοι, τροπαῖον δ' ἐπὶ τῆς Κυνοσήματος ἄκρας ἔστησαν τὴν Χερσόνησον οὕτως ἑαυτοῖς ἀσφαλισάμενοι (1). Ἐκεῖθεν δὲ οἱ μὲν εἰς Σηστὸν μετέστησαν καὶ Κύζικον, οἱ δ' αὖ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους ἀπιόντας αἰσθόμενοι, Ἀβυδόθεν εἰς Ἐλαιοῦντα (2) κατάγουσιν, ἔνθα Θυμοχάρην Ἀθήνηθεν ὀλίγαις τισὶ ναυσὶν ἐρχόμενον νικῶσι (3). Ὀλίγῳ δ' ὕστερον Λακεδαιμονίων μοῖρα Δωριέως Ῥοδίου ἡγουμένου εἰσέπλει εἰς Ἑλλήσποντον χειμῶνος ἀρχομένου· ὃ ἀπὸ Κυζίκου, ἧ μικρὸν παρέμειναν, Ἀθηναῖοι ἡμεροσκόποις πυθόμενοι, ἀντανήγοντο· καὶ Δωριεὺς μὲν ἔφυγεν εἰς Ῥοίτειον, Ἀθηναῖοι δὲ οὐδὲν πλέον πράξαντες ἐπέπλευσαν εἰς Μάδυτον τῷ στρατεύματι συμμίξοντες (4).

§. 39. Ταῦτα δὲ Μίνδαρος ἀπ' Ἰλίου κατιδὼν (ἔτυχε δὲ θύων τῇ Ἀθηνᾷ) ἐβοήθει κατὰ τάχος, ὡς δ' αὖτως Ἀθηναῖοι, ὥστε ναυμαχῆσαι περὶ Ἄβυδον ἔωθεν ἄχρι δείλης. Τῆς δὲ μάχης ἀμφιῤῥόπου οὔσης, Ἀλκιβιάδης ἐπεισπλεῖ, ἔνθεν τοι φυγὴ τῶν Πελοποννησίων ἐγένετο πρὸς Ἄβυδον, καί περ πανσθενεὶ βοηθοῦντος Φαρναβάζου (5)· ἐφεξῆς δὲ καὶ ἡ περὶ Κύζικον ἐγένετο ναυμαχία (Π. Χ. 410), ὅτε Ἀθηναίων νικώντων, καὶ Μίνδαρος ἀπέθανεν. Ἀπόντων δὲ Ἀθηναίων ὀλίγαι τινὲς ἐλελοίπεσαν νῆες εἰς τὴν Ἑλλησπόντου φυλακὴν, αὐτὴ δὲ ἡ Σηστὸς κενὴ ἦν, ὥστε Κλέαρχον Λακεδαιμόνιον φεύγοντα αὐτόθι καταφυγεῖν (1). Τοῦ δ' ἐρχομένου ἔτους (Π. Χ. 409) παρὰ Σηστὸν ὁ ξύμπας Ἀθηναίων στόλος ἐναυλόχει, ἡ δὲ Χερσόνησος Ἀθηναίων ἐγένετο (2). Ἦρι δὲ τῷ ἐπιόντι (Π. Χ. 408) Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἠργυρολόγει καὶ Σηλυβρίαν ἑλὼν φρουρὰν κατέστησεν (3)· ἡττηθέντος δ' Ἀντιόχου παρὰ Νότιον (Π. Χ. 406) τῆς στρατηγίας στερηθεὶς εἰς Χερσόνησον ἀνέκαμψεν εἰς τὰ αὐτοῦ κτήματα (4). Ἔτει δὲ ἕκτῳ καὶ εἰκοστῷ τοῦ πολέμου (Π. Χ. 405) Λύσανδρος Λακεδαιμονίων ναύαρχος, παρακλήσεσι καταστὰς τῶν συμμάχων, ἐξ Ἐφέσου μετὰ τοῦ στόλου παντὸς εἰς Ἑλλήσποντον ἔπλει, ἐκ δ' Ἀβύδου παρέπλει εἰς Λάμψακον, ξύμμαχον οὖσαν Ἀθηναίων, ἣν καταστρεψάμενος, ἐναυλόχει. Ἀθηναῖοι δὲ πρῶτα μὲν εἰς Ἐλαιουντα ὁρμίζονται, ᾗ ἀριστοποιουμένοις τὰ κατὰ Λάμψακον ἀγγέλλεται, ὡς δ' εἶχον τάχους εἰς Σηστὸν ἀναχθέντες καὶ ἐπισιτισάμενοι εἰς Αἰγὸς ποταμοὺς ἔπλευσαν Λαμψάκου κατέναντι, πρὸς δὲ πόλει οὐδεμιᾷ· ὁπόθεν ἑκάστοτε ἐπὶ Λακεδαιμονίους ἔπλεον, οὐ μέντοι ἀνταναγομένους. Ἐπεὶ δὲ ἡμέρα πέμπτη ἦν αὐτοῖς ἐπιπλέουσι, Λυσάνδρου καταφρονοῦντες, ὅτι ἠρέμει, διεσκεδάνυντο κατὰ Χερσόνησον. Οὑτωσὶ δ' ἔχουσιν ἐπιπλεῖ Λύσανδρος καὶ αἱρεῖ κατὰ κράτος, ἀνδρῶν τε τοὺς πλείστους ξυλλαβὼν καὶ τὰς τριήρεις, πλὴν τῶν Κόνωνος καὶ τῆς Παράλου· ὁ μὲν γὰρ πρὸς Εὐαγόραν εἰς Κύπρον ἀπέπλει, ἡ δ' Ἀθήναζε ἀγγελοῦσα τὰ γενόμενα (Π. Χ. 405) (5).

§. 40. Ἐφθαρμένων τοιγαροῦν τῶν Ἀθηναίων ἄλλοι τε τῶν ξυμμάχων ἀφίσταντο, καὶ Χερσόνησος τῶν ἐναντίων γενόμενα· οἳ τὰς πολιτείας καταλύοντες εἰς ὀλιγαρχίας ἁρμοστὰς ἐγκαθίσαν· Σηστὸς δὲ ἀνάστατος ἂν ὑπὸ Λυσάνδρου ἐγένετο, εἰ μὴ Λακεδαιμόνιοι ἐνίσταντο (6).

(1) Ξεν. Ἑλλ. I, 1, 36.
(2) Αὐτόθι 1, 2, 13.
(3) Αὐτόθι 1, 3, 8, 10. Διοδ. XIII, 66· Πλουτ. Ἀλκιβ. 30.
(4) Ξεν. Ἑλλ. 1, 5, 17, Διοδ. XIII, 74. Πλουτ. Ἀλκιβ. 36· Λυσάνδρ. 10.
(5) Ξεν. Ἑλλ. II, 1, 17—18. Διοδ. XIII, 105—106. Πλουτ. Ἀλκιβ. 36—. Λυσάνδρ. 10. Cornel. Nepot. Alcibiad. I.
(6) Πλουτ. Λυσάνδρ. 13. 14.

έ.) Ἡ Χερσόνησος ὑπὸ Λακεδαιμονίοις καὶ τοῖς Θρᾳκῶν βασιλεῦσιν ἄχρι τῆς ὑπ' Ἀθηναίων ἀνακτήσεως. (Π. Χ. 405—353).

§. 41. Ἐν τούτῳ ὀλίγον Λακεδαιμονίων τῇ Χερσονήσῳ τὸν νοῦν προσεχόντων, οὕτω συνεχεῖς αἱ ἐπ' αὐτὴν τῶν Θρᾳκῶν ἐπιδρομαὶ καὶ δηώσεις ἐγίγνοντο, ὥσθ' ἑκοῦσαι αἱ Ἑλλησποντιακαὶ πόλεις Κλεάρχῳ τῷ Λακεδαιμονίῳ, πρότερον ἐν Βυζαντίῳ ἁρμοστῇ, πολεμοῦντι πρὸς Θρᾷκας χρήματα συνεβάλλοντο, τροφὴν τῷ στρατεύματι (Π. Χ. 402) (1). Ἐξαιτησαμένων δὲ Λακεδαιμονίους τῶν ἐν Ἰωνίᾳ διὰ τὴν πρὸς Τισσαφέρνην ἀλλοτριότητα, ἐπεὶ πάσης ἦσαν τῆς Ἑλλάδος προστάται, καὶ αὐτῶν δὴ ἐπιμεληθῆναι, ὅπως ἥ τε χώρα μὴ δηοῖτο καὶ αὐτοὶ εἶεν ἐλεύθεροι, Θίμβρωνα Λακεδαιμόνιον ἁρμοστὴν αὐτοῖς πέμπουσιν· ἀνθ' οὗ μετ' οὐ πολὺ κατηγορηθέντος Δερκυλλίδας πέμπεται, ἀνὴρ μηχανικὸς πολλὰ, πολεμήσων πρὸς Φαρνάβαζον. Εἰρήνης δὲ γενομένης τούτῳ τε κἀκείνῳ, ἀφικνεῖται Δερκυλλίδας εἰς Λάμψακον· ὅτε πρέσβεις οἱ Χερσονησῖται εἰς Σπάρτην ἐκπεπόμφεσαν δεησομένους μὴ περιορᾶν σφας ὑπὸ Θρακῶν κακουμένους. Ταῦτα Δερκυλλίδας παρ' Ἀράκου, Ναυάτου καὶ Ἀντισθένους ἀπὸ Σπάρτης ἰκομένων πυθόμενος, διὰ Θρᾴκης ἦει εἰς Χερσόνησον, ἣν ἱκανὰς πόλεις εὐρὼν ἔχουσαν, αὐτῶν δὲ Λακεδαιμονίων ἀποίκους καὶ ἁρμοστὰς, γῆν δὲ ἀρίστην, κεκακωμένην μέντοι ὑπὸ τῶν ἐχθρῶν, οὐ περιεῖδεν, ἀλλὰ τὸν Ἰσθμὸν ἐτείχισεν ἀπὸ θαλάσσης εἰς θάλασσαν, ἔνδεκα τῷ τείχεῖ ἐγκλείσας πόλεις, Καρδίαν, Ἀγορὰν, Πακτύην, Κριθωτὴν, Καλλίπολιν, Αἰγὸς ποταμοὺς, Σηστὸν, Μάδυτον, Ἐλαιοῦντα καὶ Ἀλωπεκόννησον, τοὺς δὲ Θρᾷκας ἐξελάσας τὰ μάλιστα Χερσονησίταις ἐλυσιτέλησε. (Π. Χ. 398) (2).

§. 42. Ὅτε δὲ Κόνων τοῦ Περσῶν ναυαρχῶν στόλου Λακεδαιμονίους περὶ Κνίδον κατεναυμά-

(1) Ξεν. Ἑλλ. I, 1, 9. I, 3, 15. Κατὰ δὲ τὴν τῶν μυρίων ἐπάνοδον ἡ Χερσόνησος Λακεδαιμονίοις ἐτέλει Ξεν. Κύρ. Ἀναβ. VII, 1, 13. « Λαβόντες δὲ πορεύεσθε εἰς τὴν Χερσόνησον· ἐκεῖ δὲ Κυνίσκος (στρατηγός τις Λακεδαιμόνιος) ὑμῖν μισθοδοτήσει. » Ἔτι δὲ αὐτόθι 2, 2. « Νέων δὲ (βουλόμενος ἄγειν τοὺς ἐπανελθόντας) εἰς Χερσόνησον, οἰόμενος, εἰ ὑπὸ Λακεδαιμονίοις γένοιντο, παντὸς ἂν προεστάναι τοῦ στρατεύματος. »
(2) Ξεν. Ἑλλ. III, 2, 6—11. Διοδ. XIV, 38

χησε, τὰ δ' Ἀθηναίων ἐφθαρμένα ἐν βραχεῖ ἠνώρθωσε (Π. Χ. 394), τῶν δ' ὑπ' ἐκείνοις πολλὰ τὴν δουλοσύνην μὴ φέροντα ἀπὸ Κνίδου εἰς Βυζάντιον φίλι' Ἀθηναίοις καὶ Φαρναβάζῳ ἐγίγνετο, Δερκυλλίδας ἐν Ἀβύδῳ ὢν, αὐτὸς τῶν ἁρμοστῶν ἐνέμεινεν, Ἄβυδόν τε ἔσχε καὶ Σηστὸν ὠχύρου πρὸς Φαρνάβαζον καὶ Κόνωνα· ἦν ἐχυρώτατον τῶν τῇδε χωρίον εὑρὼν Φαρνάβαζος καὶ δυσπολιορκητότατον, Σηστίοις μὲν ἐκπέμψαι τοὺς Λακεδαιμονίους προηγόρευσεν· ἐκείνων δ' ἀπειθούντων Κόνων μὲν κωλύειν αὐτοὺς πλεῖν προσετάχθη τὴν θάλασσαν, ὁ δ' αὖ σατράπης τὴν Ἀβυδηνῶν ἐδῄου. Ἐπεὶ δὲ οὐδὲν ἐγίγνετο, αὐτὸς μὲν ἀπῆλθεν οἴκαδε, Κόνωνα δὲ καταλιπὼν εὐτρεπίζεσθαι, ἐκέλευε τὰς καθ' Ἑλλήσποντον πόλεις ἕως ἦρος ἐπιόντος μετὰ μείζονος ἐπέλθῃ τῆς δυνάμεως (1)· ἀλλ' ἐπὶ Μῆλον ἦρι ἐστράτευσε Λακεδαιμονίων οὖσαν· ὥσθ' ἥ τε Σηστὸς καὶ δὴ καὶ Χερσόνησος πᾶσα Λακεδαιμονίοις παρέμεινε. Τοῦ δὲ ξυμμαχικοῦ ἐκραγέντος πολέμου Λακεδαιμόνιοι δεδιότες μὴ Ῥόδος ἡ νῆσος Ἀθηναίων γένοιτο, ἐπικουρίαν Ῥοδίων τοῖς τὰ μείζω κεκτημένοις καὶ ἐκβληθεῖσιν ἔπεμψαν· Ἀθηναῖοι δὲ πρὸς τούτους Θρασύβουλον ἀντεκπέμπουσι τὸν Στειριέα μετὰ δυνάμεως· ἀλλὰ μὴν οὗτος τῆς εἰς Ῥόδον ἀποσχόμενος, πρὸς Ἑλλήσποντον ἔπλει, ἔνθ' οὐθενὸς ἀντιπάλου ἀγαθόν τι τῇ πόλει δι' ἐλπίδος εἶχε διαπράξασθαι. Πυθόμενος γὰρ Μήδοκον τὸν Ὀδρυσῶν βασιλέα καὶ Σεύθην ἐπὶ θαλάσσῃ ἄρχοντα στασιάζοντας, αὐτοὺς μὲν διήλλαξε, τὰς δ' ἐπὶ Θρᾴκης πόλεις φιλίας καὶ Ἀθηναίοις τὸν νοῦν προσέχειν ἐποίησεν· εἰς δὲ Βυζάντιον ἀπελθὼν οὐδὲν ἔλαττον ὑπὲρ τῆς πόλεως διεπράξατο τὴν ὀλιγαρχίας κατάλυσιν καὶ τὸν Ἑλλήσποντον Ἀθηναίων κατήκοον, τὰς δὲ Χερσονησίτιδας πόλεις εἰ μὴ ὑποτελεῖς, ἀλλὰ γοῦν φιλίας ποιῆσαι φαίνεται (2). Ὕστερον δὲ εἰς Ἄσπενδον τὴν ἐπ' Εὐρυμέδοντι πλεύσας ὑπὸ τῶν ἐγχωρίων κτείνεται. Οἱ οὖν Λακεδαιμόνιοι πυνθανόμενοι τὰ καθ' Ἑλλήσποντον καὶ Βυζάντιον Θρασυβούλῳ εἰργασμένα, ἐπεμελήθησαν, Ἀναξίβιον δὲ ἀντὶ Δερκυλλίδα ἁρμοστὴν εἰς Ἄβυδον πέμπουσιν Ἀθηναίοις, εἰ δέοι, πολεμήσοντα· Ἀθηναῖοι δ' αἰσθόμενοι, δείσαντες δὲ μὴ ταῦτα διαφθαρείη, Ἰφικράτην μετὰ δυνάμεως ὀκτὼ μὲν τριήρεων, πελταστῶν δὲ διακοσίων καὶ χιλίων ἀντεκπέμπουσιν, κατὰ τάχος μὲν ἐλθόντα εἰς Χερσόνησον, τὸν δ' Ἀναξίβιον περὶ Ἄβυδον ἐνέδρᾳ ἀποκτείναντα σὺν ἁρμοστῆρσι Λακεδαιμονίων ἐκ τῶν πόλεων δώδεκα καὶ ἑτέρων οὐκ ὀλίγους, οὕτω δὲ Ἀθηναίοις βεβαιωσάμενον Χερσόνησον. Ἀλλὰ βραχύ τι ὕστερον Λακεδαιμονίοις πολεμοῦντες, δεδιότες δὲ μή τι χεῖρον γένηται τούτοις καὶ βασιλέως συμμάχου γεγενημένου, ἐκ δ' Αἰγίνης λῃσταῖς πολιορκούμενοι, ἰσχυρῶς τῆς εἰρήνης ἐπεθύμουν, ἣν Ἀνταλκίδου διαπραξαμένου ὁ βασιλεὺς κατέπεμψε τοῖς Ἕλλησιν. Οὕτω δὲ κατὰ τὰ γεγραμμένα οἵ τε Λακεδαιμόνιοι τοὺς ἁρμοστὰς ἀνεκάλουν τῶν πόλεων, Ἀθηναῖοι δὲ τοὺς φρουροὺς καὶ στρατηγούς, καὶ δὴ καὶ Ἰφικράτη Χερσονησόθεν, ἢ ἀποστάντων Ἀθηναίων αὐτονομουμένη καὶ ἀτυράννευτος ἔμεινε (Π. Χ. 387) (1).

§. 43. Μετὰ δὲ τὴν εἰρήνην ἔτει εἰκοστῷ (Π. Χ. 367) Τιμόθεος, Ἀθηναίων στρατηγὸς, εἰς τὴν Χερσονήσου ἀνάληψιν τὸν δῆμον ὦτρυνε τρόπῳ τοιῷδε. Ἀριοβαρζάνης σατράπης ὑπὸ βασιλέως καταστὰς τῆς Λυδίας, Ἰωνίας τε καὶ Φρυγίας ἁπάσης (2), κρύφᾳ δὲ ἀποστασίαν ἀπὸ βασιλέως βουλευόμενος, Φιλίσκον τινὰ Ἀβυδόθεν τῶν μισθοφόρων ὕπαρχον κατέστησεν· ὃς τῇ παρ' Ἀριοβαρζάνῃ ἀρχῇ χρώμενος πολλούς τινας ἐκ Περίνθου μισθοφόρους συλλέξας, Χερσόνησόν τε καὶ ἑτέρας ἔστιν ἃς πόλεις παρ' Ἑλλήσποντον κατέλαβε καὶ τῷ σατράπῃ ὑπέβαλεν (3). Ἐβοήθουν δ' Ἀριοβαρζάνῃ καὶ ἐξ Ἑλλάδος, ἐκ μὲν Λακεδαιμονίων Ἀγησίλαος, ἐξ Ἀθηναίων δὲ Τιμόθεος, σπονδὰς μέν τοι τὰς πρὸς βασιλέα μὴ λύων τῆς πόλεως (4). Τούτων εἰς Ἀσίαν ἡκόντων παρ' Ἀριοβαρζάνην, αὐτοῦ δ' ἐν Ἄσσῳ ὑπ' Αὐτοφραδάτου πολιορκουμένου, Κότυς ὁ Ὀδρυσῶν βασιλεὺς, Σηστὸν πολιορκεῖ ὑπὸ τῷ σατράπῃ τελοῦσαν (5). Τιμόθεος οὖν Ἀριβαρζάνην μὲν φανερῶς ὁρῶν ἀφεστάναι βασιλέως πειρώμενον, Σάμον δὲ ὑπὸ Κυπριθέμιδος φρουρουμένην, ὃν Τιγράνης κατέστησεν ὁ βασιλέως ὕπαρχος, ἐκείνῳ μὲν βοηθεῖν ἀπέγνω, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσεν. (6). Ἀγησίλαος δὲ τὴν ταχίστην εἰς Ἄσσον πορεύεται, ἔνθ' ἁπλῇ τῇ φήμῃ τῆς ἐλεύσεως ἀποστῆναι τῆς

(1) Ξεν. Ἑλλ. IV, 8, 5—.
(2) Ξεν. Ἑλλ. IV, 8, 26—28, 31. Διοδ. XIV, 94. Δημοσθ. πρὸς Λεπτίν. σελ. 475.

(1) Ξεν. Ἑλλ. V, I, 25—29. 31. Διοδ. XIV, 110.
(2) Cornel. Nepot. Datam. II.
(3) Δημοσθ. κατὰ Ἀριστοκράτ. σελ. 666.
(4) Δημοσθ. περὶ τῆς Ῥοδίων ἐλευθερίας σελ. 192. Cornel. Nepot. Timoth. I.
(5) Στράβ. VII, Epit. 48 Cram. Ξεν. Ἀγησ. Ἐγκώμ. II, 26.
(6) Δημοσθ. περὶ τῆς Ῥοδ. ἐλευθ. σ. 192.

πολιορκίας Αὐτοφραδάτην ἠνάγκασε, Κότυν τε ἅμα Σηστὸν καταλιπεῖν, ὡς δ' αὖτως Μαύσωλον Καρῶν δυνάστην ἑκατὸν ναυσὶ ταύτην πολιορκῆται ἐρχόμενον (1). Ὁ δ' αὖ σατράπης λυθεὶς τῆς πολιορκίας δώροις μὲν πολλοῖς Ἀγησίλαον ἐτίμησεν, Σηστὸν δὲ καὶ Κριθωτὴν πόλεις χερσονησίτιδας Τιμοθέῳ λαβεῖν ἐπέτρεψεν, οὕτω δ' Ἀθηναίους εἰς ξυμπάσης τῆς Χερσονήσου ἀνάληψιν τὸν νοῦν προσέχειν ἐποίησεν (2). (Π. Χ. 365).

§. 44. Κότυς δὲ ἑαυτῷ περιποιῆσαι τὴν Χερσόνησον βουλόμενος, Ἀθηναίοις Τιμόθεον στρατηγὸν ὕστερον πέμψαι μετὰ δυνάμεως πολεμῆσαι ὑπέμεινε (Π. Χ. 364)· ἔνθεν τοι μακρὸς Ἀθηναίοις καὶ τοῖς Θρᾳκῶν ἄρχουσι πόλεμος ἐγένετο. Τιμόθεος γὰρ ἐπὶ τόν δε τὸν πόλεμον Χαρίδημόν τινα ἄγων κρατερὸν μέν, ἀλλ' ἀπατεῶνα καὶ κίβδηλον, πόλλ' Ἀθηναίοις ἀτάσθαλα ποιήσαντα διὰ τὸ πονήρως ἔχειν φύσει καὶ εὐμεταβόλως (3), Ποτίδαιαν καταλαβὼν καὶ Τορώνην ἐπὶ Κότυν εἶσι καὶ οὐκ ἀτυχῆ πρὸς αὐτὸν ἀνελόμενος πόλεμον καταλαμβάνει Ἐλαιοῦντα, ὡς δὲ λόγος, καὶ τῇ πόλει διακόσια πρὸς χιλίοις προσήνεγκε τάλαντα. Ἐργόφιλος δ' ὁ τούτου διάδοχος (Π. Χ. 363) ἐν Χερσονήσῳ τὸν πόλεμον ἦγεν, ὅτε Μιλτοκύθης ἀποστὰς Κότυος τὴν Ἀθηναίων ἠτήσατο ξυμμαχίαν ἐπὶ τῷ παραδοῦναι αὐτοῖς Χερσόνησον ὑπὸ Θρᾳκας τὸ πλεῖστον οὖσαν (Π. Χ. 362). Τούτῳ οὖν Ἀθηναῖοι ἀγόμενοι, πρὸς δὲ Προικοννησίοις ὑπὸ Κυζικηνῶν πιεζομένοις βοηθῆσαι βουλόμενος, ἐλευθέραν δὲ καὶ τὴν τοῦ σίτου ἐκ Πόντου διαπομπὴν παρά τε Βυζαντίων καὶ Χαλκηδονίων, ἀπόστολον τὴν ταχίστην παρεσκευάσθαι ἐψηφίσαντο (4). Ἀτυχήσαντος δ' Ἐργοφίλου Αὐτοκλῆς στρατηγὸς τῶν Μιλτοκύθῃ βοηθησόντων ἐπέστη· ἀλλὰ καὶ τούτου τῇ Ἀθηναίων δυσβουλίᾳ τῆς ἀρχῆς ἐκβληθέντος, Κότυος δὲ τοῦ Ἱεροῦ καλουμένου ὄρους καὶ τῶν θησαυρῶν κρατήσαντος, Μένων στρατηγὸς ἐκπέμπεται (Π. Χ. 361), οὐ πολλῷ δ' ὕστερον Τιμόμαχος. Ταῦθ' ὁρῶν Κότυς, πρὸς μὲν Μιλτικύθην πολεμίως ἔχων, τὴν Ἀθηναίων φιλίαν ὑπούλως ἐξητεῖτο, πᾶσαν δ' ὕστερον καταλαβὼν τὴν ἀρχὴν, τὰς αὐτῶν ἐν Χερσονήσῳ κτήσεις ἐπεξελθεῖν ἐτόλμησεν (5), πρώτην δὲ Σηστὸν Ἀβυδηνῶν βοηθούντων ἀπὸ Τιμομάχου πολεμῶν ἔλαβεν (Π. Χ. 360)· ὁ δ' αὖ Χαρίδημος πρότερον ἀπιστίᾳ (Π. Χ. 364) καταλαβὼν Ἴλιον, Σκῆψιν, Κεβρήνην, πόλεις Τρωϊκὰς, ὑπ' Ἀρταβάζου φρουρᾷ δεινῇ κατείχετο. Οὕτω δ' ἔχων Κηφισσοδότῳ ἐπιστέλλει Ἀθήνησι βοήθειαν ἐξαιτούμενος τῆς πόλεως ἐπὶ τῷ ἀποδοῦναι Χερσόνησον· τούτῳ δ' Ἀθηναῖοι ἀγόμενοι Κηφισσόδοτον Κότυϊ πολέμιον καὶ Ἰφικράτει μετὰ δυνάμεως ἐκπέμπουσιν εἰς Χερσόνησον· ὁ μέν τοι Χαρίδημος ἀπολυθεὶς, ἀντὶ τοῦ βοηθῆσαι Ἀθηναίοις, τοὔμπαλιν ξυμμαχήσας Κότυϊ ἐπολιόρκει ἃ μόνα Ἀθηναίοις ἐλέλειπτο, Κριθωτὴν καὶ Ἐλαιοῦντα (1).

§. 45. Ἐν δὲ τούτῳ Κότυος ὑπὸ Πύθωνος καὶ Ἡρακλείδου τῶν Αἰνίων ἀναιρεθέντος (Π. Χ. 360), τρεῖς ἀνθ' ἑνὸς ἦρχον τῆς Θρᾴκης, Κερσοβλέπτης, Ἀμάδοκος καὶ Βηρισάδης· ὧν Κερσοβλέπτῃ μὲν ἦν στρατηγὸς καὶ τρόπον δή τινα τῶν πραγμάτων ἐφεστὼς Χαρίδημος ὁ Ὠρείτης, Ἀμαδόκῳ δὲ Σίμων καὶ Βιάνωρ, Βηρισάδῃ δὲ Ἀθηνόδωρος Ἀθηναῖος Ἀλωπεκῆθεν. Ὁ οὖν Κηφισσόδοτος ἐπὶ Χερσόνησον ἐκπλεύσας εἰς Πέρινθον ὁρμίζεται (2), ἔνθα Χαρίδημον, ᾧ παρεγένετο ἐπικουρήσων, εἶναι ἐπύθετο· ἀλλὰ μὴν οὗτος πόλεμον ἦγε φανερῶς Κηφισσοδότῳ καὶ εἰρήνην ἠνάγκασε γενέσθαι Ἀθηναίοις οὐκ ἔντιμον· πρῶτον μὲν γὰρ δέκα Ἀθηναίων τριήρεων εἰς Πέρινθον ὡρμισμένων, ἀριστοποιουμένους φυλάξας τοὺς στρατιώτας, ἱππέας ἔχων καὶ ψιλούς τινας ἐπεχείρησεν αὐτῶν τὰ σκάφη λαβεῖν, πολλοὺς δὲ τῶν ναυτῶν ἀπέκτεινε, κατήραξε δὲ εἰς τὴν θάλασσαν ἅπαντας· μετὰ δὲ ταῦτα Κηφισσοδότου ἐπ' Ἀλωπεκόννησον πλεύσαντος, μεστὴν οὖσαν λῃστῶν καὶ ἀνδραποδιστῶν, καὶ πολιορκοῦντος, ὁ Χαρίδημος ἀνὰ τὴν Χερσόνησον ἰὼν, Ἀθηναίους μὲν προσέβαλλεν, ἐβοήθει δὲ λῃσταῖς καὶ ἀνδραποδισταῖς, Κηφισσόδοτον δὲ εἰρήνην ὁμολογῆσαι ἠνάγκασεν, ὑπὲρ ἧς Ἀθηναῖοι οὕτως ἠγανάκτησαν καὶ χαλεπῶς ἤνεγκαν, ὥστε τὸν μὲν στρατηγὸν ἀποχειροτονήσαντες πέντε ταλάντοις ἐζημίωσαν, τρεῖς δὲ μόναι ψῆφοι διήνεγκαν τοῦ μὲν θανάτου τιμῆσαι (3). Ἀλλὰ καὶ Χαρίδημος αὐτὸς ὕστερον οὐ πολλῷ τοῦ ταῦτα πράττειν ἐπαχθὴς τοῖς Θρᾳξὶν ἐγένετο, ὁπηνίκα μάλιστα τὸν Μιλτοκύθην ἐκεῖνον, εὖνουν Ἀθηναίοις, ὑπὸ Σμικυθίωνος προδεδομένον Καρδιανοῖς, ἐχ-

(1) Ξεν. Ἀγησ. Ἐγκώμ. αὐτόθι. Cornel. Nepot. Timoth. I.
(2) Cornel. Nepot. αὐτόθι. Ἰσοκρ. περὶ ἀντιδ. I. 112.
(3) Δημοσθ. κατὰ Ἀριστοκράτ. σ. 668, 669, 671.
(4) Αὐτόθι σ. 665.
(5) Αὐτόθι σ. 658.

(1) Αὐτόθι σ. 671, 672.
(2) Αὐτόθι σ. 674.
(3) Αὐτόθι σ. 675, 676.

θροῖς Ἀθηναίων ὅτι μάλιστα, ἐπὶ τῷ διαπράξασθαι παρέδωκεν· ἐφ' ᾧ τῶν Θρᾳκῶν ἁπάντων χαλεπῶς ἐνεγκάντων, τοῦ τε Βηρισάδου καὶ Ἀμαδόκου συστραφέντων, Ἀθηνόδωρος Ἀθηναῖος ξυμμαχίαν τούτοις ποιησάμενος, οἷός τ' ἦν Χαριδήμῳ ἅμα πολεμεῖν καὶ Κερσοβλέπτῃ (1), ὃς φόβῳ τὸν πόλεμον λῦσαι ἀναγκάζεται καὶ ὁμόσαι πρός τε Ἀθηναίους καὶ τοὺς βασιλέας εἶναι μὲν τὴν ἀρχὴν τῆς Θρᾴκης κοινὴν τοῖς τρισί, (Κερσοβλέπτῃ δῆλα δή, καὶ Βηρισάδῃ καὶ Ἀμαδόκῳ), πάντας δ' ἀποδοῦναι Ἀθηναίοις τὴν Χερσόνησον, πλὴν Καρδίας (2).

§. 46. Ἐπεὶ δὲ Ἀθηνοδώρῳ τῷ ταῦτα διαπραξαμένῳ συνέβη δι' ἀχρηματίαν διαφεῖναι τὴν δύναμιν, Χαβρίας δ' ὁ ἐπὶ ταύτην μιᾷ νηὶ μόνῃ ἐπιπλεύσας διακατέχειν οὐκ ἴσχυεν, ἔξαρνος ὁ Κερσοβλέπτης τῶν συνθηκῶν γίγνεται Χαριδήμῳ πειθόμενος, ἑτέρας δέ τινας τῶν πρὶν ταπεινοτέρας πρὸς Χαβρίαν γράφει ἐπὶ τῷ τὰ τέλη καὶ τὰς δεκάτας αὐτὸν λαμβάνειν καὶ τοὺς δεκατηλόγους τοὺς αὑτοῦ τῶν τελῶν εἶναι κυρίους, αἷς Χαβρίας χρήματα καὶ δύναμιν οὐκ ἔχων στέργειν ἠναγκάζετο (3). Ἐπὶ δὲ τούτοις Ἀθηναῖοι ἀγανακτοῦντες πρέσβεις Γλαύκωνος εἰπόντος αἱροῦνται δέκα, τὸ μὲν πρῶτον πρὸς Κερσοβλέπτην, ἂν μὲν ἐμμένῃ ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις, ὁμόσαι πάλιν αὐτὸν, εἰ δὲ μή, παρὰ μὲν τοῖν δυεῖν βασιλέοιν ἀπολαβεῖν τοὺς ὅρκους, πρὸς δ' ἐκεῖνον ὅπως πολεμήσουσι βουλεύεσθαι (4). Μετὰ δὲ ταῦτα ἐκπεπλευκότων τούτων καὶ τριβόντων, αὐτοκράτωρ στρατηγὸς εἰς Χερσόνησον Χάρης ἐξέπλει μετὰ ξένων (Π. Χ. 358), ὃς εἰς Ἑλλήσποντον εἰςπλεύσας καὶ Σηστὸν ἑλὼν ὑπ' Ἀβυδηνῶν κατειλημμένην (5), αὖθις συνθήκας Κερσοβλέπτην γράψαι ἀναγκάζει, Ἀθηνοδώρου παραγενομένου καὶ τῶν βασιλέων, αἳ ἄρισται ἦσαν καὶ δικαιόταται (6). Ἐν γὰρ αὐταῖς ὡμολόγει τὴν Χερσόνησον πᾶσαν, πλὴν Καρδίας, Ἀθηναίων εἶναι· ἀλλὰ μὴν καὶ ταύτας ἐτήρησεν ἐφ' ὅσον ἡ Ἀθηναίων δύναμις παρῆν εἰς Ἑλλήσποντον· ἔρημον γὰρ δυνάμεως ὁρῶν τοῦτον ἐπὶ τὴν Χερσόνησον σὺν Χαριδήμῳ τρέπεται (7) τῶν Ἀθηναίων περὶ τὸν συμμαχικὸν κληθέντα πόλεμον ἀσχόλων ὄντων, πόλεμον δ' ἀναιρεῖται Ἀμαδόκῳ καὶ τοῖς παισὶ Βηρισάδου, τούτοις μὲν Ἀθηνοδώρου βοηθοῦντος, ἐκείνῳ δὲ Σίμωνος διὰ τὸ ξυγγενὲς καὶ Βιάνορος (1). Τέλος δ' ἐπὶ πολὺ τοῦ πολέμου προβάντος, αὖθις ἡ Χερσόνησος Ἀθηναίων ἐγένετο (Π. Χ. 353). Χάρης γὰρ ὁ στρατηγὸς Ἀθηναίων καταλιπὼν Ἀρτάβαζον, εἰς Ἑλλήσποντον ἔρχεται, Σηστὸν ἐκπολεμεῖ, πολλοὺς δὲ κτείνας καὶ ἐξανδραποδισάμενος, αἱρεῖ Χερσόνησον, πλὴν Καρδίας, καὶ Κερσοβλέπτου αὐτοῦ παραδόντος, ἄλλως τε καὶ διὰ τὸ Φίλιππον τῇ Θρᾴκῃ ἀπειλεῖν τὸν Μακεδόνα, πολέμιον δυσπολέμητον, κληρούχους δὲ κατὰ τὴν χώραν ὁ δῆμος ἔπεμψεν εἰς τὰς πόλεις (2). Ὁ μέν τοι Χαρίδημος οὕτω τῶν πραγμάτων ἐχόντων οὐκ ἀπῆλπισεν, ἀλλ' ἐξαπατᾷν ἐπειρᾶτο Ἀθηναίους ἐπὶ τῷ Θρᾴκην τε καὶ Χερσόνησον ἐπαναγαγεῖν Κερσοβλέπτῃ. Ὅπως δὲ τοῦτ' ἄμεινον ἀπεργάσεται, δώροις δεκάσας ῥήτορας ἔστιν οὓς, τῆς τε πολιτείας τυγχάνει, καὶ δὴ χρυσῷ στεφάνῳ στεφανοῦται (3). Ἀριστόμαχος γὰρ Ἀλωπεκῆθεν ἄλλα τε ἠγόρευεν, καὶ Κερσοβλέπτην ἐπῄνει καὶ Χαρίδημον ἄνδρα λίαν φιλανθρώπως Ἀθηναίοις ἔχοντας, Κερσοβλέπτην δὲ μηδαμῶς εὐνοούμενον ἀποστερεῖν Χερσόνησον οὐδὲν αὐτῷ λυσιτελοῦσαν, εἰ καταλάβοι (4)· τέλος δὲ Ἀριστοκράτους λέγοντος ἐψηφίσαντο Ἀθηνόδωρον, Σίμωνα καὶ Βιάνορα τὰ ὅπλα καταθέσθαι ὑπὲρ Χαριδήμου στρατηγοῦ ἀναῤῥηθέντος αὐτοκράτορος (Π. Χ. 352)· ἀλλὰ μὴν Ἀριστοκράτους ὑπό τε Εὐθυκλέους καὶ Δημοσθένους φυγόντος δίκην παρανόμων, ἡ Χερσόνησος οὕτως Ἀθηναίοις παρέμεινεν.

(1) Αὐτόθι σ. 676, 623.
(2) Αὐτόθι σ. 677, 681.
(3) Αὐτόθι σ. 671. 679.
(4) Αὐτόθι σ. 678, 680.
(5) Αὐτόθι σ. 672.
(6) Αὐτόθι σ. 678, 680.
(7) Αὐτόθι σ. 680.

(1) Αὐτόθι σ. 624.
(2) Διοδ. XVI, 34.
(3) Δημοσθ. κατὰ Ἀριστοκρ. σ. 670, 666, 688.
(4) Αὐτόθι σελ. 624, 625, 657.
(5) Αὐτόθι σ. 681.

ς΄) Ἡ Χερσόνησος ὑπ' Ἀθηναίοις ἄχρι τῆς ὑπὸ Φιλίππου ἀντιποιήσεως. (Π. Χ. 353—338).

§. 47. Δεινὸς τῇ Χερσονήσῳ ἐφύετο πολέμιος Φίλιππος ὁ Μακεδών· ὃς τὴν Ἀθηναίων καταβαλεῖν πειρώμενος δύναμιν πάσῃ τέχνῃ, προῦβη εἰς Μαρώνειαν (Π. Χ. 353), ἐκεῖθεν δ' ἀπιστίᾳ Χαριδήμου Καρδίας κρατήσας καὶ τὴν λοιπὴν ἠβούλετο καταστρέψασθαι, εἰμὴ Ἀμάδοκος ἀπεῖπε τὴν οἰκείαν φυλάττων (5). Τῶν γὰρ Πυλῶν διωχθεὶς ὁ Φίλιππος (Π. Χ. 352) (1), ἐπὶ Μακεδονίαν ἀναζεύγνυσιν, ἐκεῖθεν δ' ἐπὶ Θρᾴκην, ἔνθα τοὺς μὲν ἐκβαλὼν τῶν βασιλέων, τοὺς δὲ καταστήσας, ἡσθένησεν. Ὅτε δὲ Ἠαῖον τεῖχος παρὰ Πέρινθον πολιορκῶν τῇ Χερσονήσῳ ἠπείλει, Ἀθηναῖοι τοῦ τέως ληθάργου ἀνανήψαντες, τεσσαράκοντα μὲν τριήρεις καθέλκειν ἐψηφίσαντο, τοὺς δὲ μέχρι πέντε καὶ τεσσαράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλαντ' εἰσφέρειν ἑξήκοντα (2). Φιλίππου δ' ἀγγελθέντος ἀσθενοῦντος ἢ τεθνηκότος ἀφεῖσαν τὸν ἀπόστολον, ἔτει δὲ τῷ ἐφεξῆς Χαρίδημον πέμπουσι στρατηγὸν ναυσὶ θέκα καὶ πέντε ἀργυρίου ταλάντοις εἰς Χερσόνησον (3)· τοῦ δὲ βασιλέως ῥᾳΐσαντος καὶ ἐπεισπεσόντος Ὀλυνθίους, Χαρίδημος Χερσόνησον καταλιπὼν ἀβοήθητον εἰς Ὄλυνθον βοηθήσων ἔδραμεν (4)· ἀλλὰ καὶ ἄφνω (Π. Χ. 349) ἐπιτρέχει τὴν Χερσόνησον στόλῳ εἰς Ἑλλήσποντον φανέντι ἐτησίων πνεόντων, ἵνα μὴ Ἀθηναῖοι πλεῦσαι ἔχοιεν ἐπὶ τὴν χώραν βοηθήσοντες. Ταύτην Φίλιππος διαδραμὼν καὶ τὰς νήσους, ἀπῄει (5). Καταλαβὼν δὲ Ὄλυνθον θρασὺς ἐπὶ μᾶλλον τοῖς Ἀθηναίοις ἐγίγνετο, τὰς δ' αὐτῶν κτήσεις θαῤῥαλεώτερον ἐπήρχετο, ὅτε Χάρης ὁ ἐπ' αὐτὸν σταλεὶς στρατηγὸς ἀμελέστερον εἶχεν· διόπερ οἱ μὲν τῶν Ἀθηναίων κληροῦχοι τὴν χώραν κατέλιπον, Ἀθήνησι δὲ πολλοῦ θορύβου γενομένου, ὁ δῆμος τὴν ταχίστην Ἀντιοχόν τινα τῶν ἐπὶ τῶν ὑπηρετικῶν ἀπελθεῖν εἰς Χερσόνησον ἐκέλευσαν καὶ ζητεῖν τὸν στρατηγὸν, τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον· κἂν ἐντύχῃ που, φράζειν, ὅτι θαυμάζει ὁ δῆμος Ἀθηναίων εἰ Φίλιππος μὲν ἐπὶ Χερσόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν, ἣν ἐξέπεμψαν, ὅπου ἐστίν· ἅμα δὲ λόγοι περὶ εἰρήνης Ἀθηναίοις πρὸς Φίλιππον ἦσαν δέκα ἐπὶ τούτῳ πρέσβεις πέμψασιν εἰς Μακεδονίαν (Π. Χ. 347) (6). Ἐν δὲ τούτῳ καταβαλόντος Φιλίππου Κερσοβλέπτην, Δορίσκον δὲ καὶ Θρᾴκην, Τὰ ἐπὶ τειχῶν, Ἱερὸν ὄρος καὶ ἄλλα, ἐπὶ μᾶλλον τῇ Χερσονήσῳ προσήγγιζε (7). Διὸ, εἰ μὴ πάμπαν τῆς χώρας ἐν τῇ δὴ φιλοκρατείῳ κληθείσῃ εἰρήνῃ ἐμνημόνευσαν, πλὴν ἀλλὰ μετ' αὐτὴν Φίλιππος εὐφυῶς Καρδιανοὺς τῶν Χερσονησιτῶν ἑαυτῷ προσεπηγάγετο φίλους ποιήσας καὶ ξυμμάχους (1)· τότε δὴ τῆς χώρας ἐν κινδύνοις οὔσης κληρούχους Ἀθηναῖοι πέμπουσιν ἄνδρας ἐνόπλους Διοπείθους ἡγουμένου, ὅπως Φίλιππον ἐπιβῆναι πειρώμενον ἀπώσονται (2). Τούτους οἱ Χερσονησῖται πλὴν Καρδιανῶν ἄσμενοι ἐδέξαντο καὶ οἰκιῶν αὐτοῖς καὶ γῆς μετέδοσαν· Καρδιανοῖς δὲ ὑπὸ Φιλίππῳ μείνασι μετὰ τὴν Κερσοβλέπτου κατάλυσιν καὶ ἀνθισταμένοις Διοπείθης μὲν πόλεμον ἦγεν, Φίλιππος δὲ δυσχεραίνων ἐπὶ τούτῳ Ἀθηναίοις ἐπιστέλλει Καρδιανοὺς μὴ βιάζεσθαι αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι, μεθ' ὃ βοήθειαν αὐτοῖς ἔπεμψε μὴ ἀκουόντων Ἀθηναίων (3). Ἐπὶ τούτοις δυσφορῶν Διοπείθης κατέδραμε καὶ ἐπόρθει τὴν παραλίαν Θρᾴκην Φιλίππῳ τελοῦσαν, πρὶν δ' ἐπανελθεῖν Φίλιππον ὤφθη ἀπελθὼν εἰς Χερσόνησον (4). Τοῦτον ὅπλοις ἀμύνασθαι μὴ ἔχων Φίλιππος, αὖθις ἐπιστέλλει Ἀθηναίοις ἐγκλήματα φέρων ἄλλα τε καὶ ὡς Διοπείθης παρεβεβήκει τὴν εἰρήνην ἄντικρυς, τὰ δὲ διάφορα διαιτηταῖς ἐπιτρέψαι εἶναι δίκαιον· ὧν ἀναγνωσθέντων Ἀθήνησιν, οἱ μὲν καταγνῶναι Διοπείθους, ὡς πόλεμον ἐγείροι καὶ βίᾳ πρὸς τροφὴν χρῷτο τῷ στρατεύματι, οἱ δὲ ἕτερον ἀντ' αὐτοῦ στρατηγὸν ἐκπέμψαι ἠβούλοντο, εἰ μὴ Δημοσθένης τούτοις μεμφόμενος ὑπερεμάχει Διοπείθους (Π. Χ. 342) (5).

§. 48. Ἀεὶ δ' ἐπὶ τὴν Χερσόνησον ἐποφθαλμίζων ὁ Φίλιππος καὶ θρασύτερον ἐπεμβαίνων, πόλεμον αὐτῷ ἐγεῖραι Πολυκράτους λέγοντος τοὺς Ἀθηναίους ἠνάγκασε διὰ τῶν ἐν αὐτῇ κληρούχων (6). Ἐπιτρέχων δὲ τῆς Προποντίδος πόλεις ἔστιν ἃς, τὸ στράτευμα διὰ Χερσονήσου ἔπεμψε τὰς εἰς Ἑλλήσποντον τριήρεις παραπέμψων, ὃ μέν τοι οὐ πολεμίως Ἀθηναίοις ποιῆσαι ἔφασκεν (Π. Χ. 341) (7). Οὐ πολλῷ δ' ὕστερον τὴν εἰρήνην φανερῶς διασπᾶν ἤρξατο Σηλυμβρίαν πολεμῶν ἐπὶ τῷ τὴν σίτου εἰς Ἀθήνας εἰςκομιδὴν παρακωλῦσαι, καὶ Πέρινθον πολιορ-

(1) Διοδ. XVI, 38.
(2) Δημοσθ. Ὀλυνθ. Α΄. σ. 12.
(3) Ὀλυνθ. Γ΄. σ. 29.
(4) Ὀλυνθ. Α΄. σ. 13.
(5) Δημ. Φιλιπ. Α΄. σ. 44, 51.
(6) Αἰσχίν. περὶ Παραπρεσβ. σ. 251.
(7) Δημοσθ. περὶ Παραπρεσβ. σ. 390. περὶ Ἀλονήσου σ. 85. περὶ στεφάνου σ. 234. Αἰσχ. κατὰ Κτησιφ. σ. 474.

(1) Δημοσθ. περὶ Παραπρεσβ. σ. 396.
(2) Αὐτόθι σ. 365. περὶ Χερσονήσου σ. 91. Φιλιπ. Γ΄. σ. 114.
(3) Δημ. περὶ Ἀλον. σ. 88. περὶ Χερσον. σ. 104, 105. Λιβανίου ὑπόθ. περὶ τῶν ἐν Χερσ.
(4) Δημ. περὶ τῶν ἐν Χερσ. σ. 92, 95—.
(5) Φιλίππου Ἐπιστ. σ. 106. Δημ. Χερσ. σ. 91, 96.
(6) Ὀλυνθ. Γ΄. σ. 129. Ὀλυνθ. Δ΄. Φιλίπ. Ἐπιστ. σελ. 163.
(7) Αὐτόθι.

κῶν (Π. Χ. 340) (1)· τῶν δὲ Περινθίων εὐθαρσῶς ἀμυνομένων ἐπὶ Βυζάντιον ἐστράτευσε, καὶ Χερσόνησον ἐπιβῆναι οὐδὲν εὐλαβήσατο Ἀθηναίων οὖσαν (Π. Χ. 339) (2)· τοῦθ' ὅπερ Ἀθηναῖοι παράβασιν ἡγησάμενοι πάντως τῶν σπονδῶν, Χάρητα μὲν πρῶτον, μὴ δεχομένων δὲ τῶν πόλεων, Φωκίωνα μετὰ δυνάμεως ἐπικουρῆσαι ἐξέπεμψαν, τήν τε πολιορκίαν ἔλυσαν καὶ τοῦ Ἑλλησπόντου ἐκτὸς αἰσχρῶς γενέσθαι ἠνάγκασαν. Ἐφ' ᾧ Χερσόνησός τε καὶ Πέρινθος καὶ Βυζάντιον ἀνάλωτα μείναντα, καὶ τῶν ἀπλήστων τοῦ Φιλίππου χειρῶν καί τοι ἐπὶ μικρὸν ἀπαλλαγέντα, οὐκ ἠγνωμόνησαν, τιμαῖς δὲ καὶ στεφάνοις καὶ προνομίαις Ἀθηναίους ἐτίμησαν (3). Μετὰ γὰρ τὴν ἐν Χαιρωνείᾳ μάχην (Π. Χ.338) ἡττηθέντων Ἀθηναίων καὶ τὰς κτήσεις ἔχειν οὐχ οἵων τε, σὺν ἑτέροις Χερσόνησος ὑπὸ Φιλίππῳ ἐγένετο.

ζ') Ἡ Χερσόνησος ὑπὸ τοῖς Μακεδόνων βασιλεῦσι. (Π. Χ. 338—133.).

§. 49. Φιλίππου δὲ ἀναιρεθέντος (Π Χ. 335) Ἀλέξανδρος ὁ υἱὸς διεδέξατο τὴν ἀρχήν, ἐφ' οὗ Ἐκαταῖος τυραννεῖν ἐπὶ μακρὸν τῆς Καρδίας φαίνεται τὴν Ἀλεξάνδρου ἐπισπασάμενος εὔνοιαν (4). Ἐπὶ δὲ τὴν Ἀσίαν ἐκστρατεύων (Π. Χ. 334) διὰ Χερσονήσου διῆει μεθ' ἡμέρας εἴκοσιν ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως μέχρι Σηστοῦ. Εἰς δ' Ἐλαιοῦντα ἀφικόμενος ἔθυε Πρωτεσιλάῳ, ὁ δὲ νοῦς τῆς θυσίας ἦν, ἐπιτυχεστέραν οἱ τὴν εἰς Ἀσίαν γενέσθαι ἀπόβασιν ἢ Πρωτεσιλάῳ. Καὶ ἡ μὲν στρατιὰ τριήρεσι καὶ πλοίοις ἐκ Σηστοῦ εἰς Ἄβυδον διέβησαν, αὐτὸς δὲ, ὥς φασιν, Ἀλέξανδρος ἐξ Ἐλαιοῦντος εἰς τὸν Ἀχαιῶν κατῆρε λιμένα τὴν στρατηγίδα ναῦν κυβερνῶν. Κατὰ δὲ μέσον ὢν Ἑλλησπόντου ταῦρον σφάξας Ποσειδῶνι ἔσπεισε φιάλῃ χρυσῇ καὶ Νηρηίσιν εἰς τὸν πόντον, μετὰ δὲ αὐτὸς ἐκβῆναι λέγεται πρῶτος σὺν ὅπλοις εἰς τὴν γῆν, καὶ βωμοὺς ἱδρύσασθαι(5).

§. 50. Μετὰ δὲ τὴν τελευτὴν Ἀλεξάνδρου τῶν Διαδόχων τὴν ἀρχὴν νειμαμένων τήν τε Χερσόνητον καὶ τὴν Θράκην πᾶσαν ἔλαχε Λυσίμαχος (6)· ὃς Θρᾷκας τοὺς προσβόρρους πολεμίως ἔχοντας Χερσονησίταις ἀπώσασθαι βουλόμενος, καὶ τοὺς ἐξ Ἀσίας τὴν χώραν λῃζομένους, πόλιν ὁμώνυμον ἐπὶ τοῦ ἰσθμοῦ, Λυσιμάχειαν, τείχεσιν οἰκισάμενος, Καρδιανῶν καὶ Πακτυηνῶν συνειλεγμένων, ἐπιτείχισμα κατὰ Θρᾳκῶν ἤγειρε (Π. Χ. 309) (1). Κραταιῶς δὲ τῆς Θράκης ἄρχοντι τῷ Λυσιμάχῳ, τῆς δὲ Μακεδονίας ἱκανοῦ, Ἀσίας ἔτι τῆς Μικρᾶς οὐκ ὀλίγων, δυσχερῶς ἔφερε Σέλευκος ὁ τῆς Συρίας βασιλεὺς, καιροῦ δ' ἐπιλαβέσθαι ἐπ' αὐτῷ ἠφίετο, τοῦθ' ὅπερ ἐγένετο· Ἀρσινόη γὰρ ἡ Λυσιμάχου, Λυσάνδρας δὲ τῆς Ἀγαθοκλέους τοῦ Λυσιμάχου ἀδελφὴ δεδιεῖα ἐπὶ τοῖς παισὶ μὴ Λυσιμάχου θανόντος ὑπ' Ἀγαθοκλεῖ γένοιντο, ἐπιβουλεῦσαι τούτῳ λέγεται ἄλλα τε παρειποῦσα Λυσιμάχῳ, καὶ ὡς Ἀγαθοκλῆς τῷ πατρὶ ἐπιβουλεύοι διὰ τὸν θρόνον. Μετὰ δὲ τὴν Ἀγαθοκλέους ἀναίρεσιν Λυσάνδρα παρὰ Σέλευκον ἐκδιδράσκει μετά τε τῶν παίδων καὶ τοῦ ἀδελφοῦ Πτολεμαίου, ᾧ Κεραυνὸς ἐπίκλησις, εἰς δὲ Βαβυλῶν' ἀναβᾶσα ἐξελιπάρει καταστῆναι Λυσιμάχῳ εἰς πόλεμον. Λυσίμαχος δὲ πυνθανόμενος ἔφθη διαβὰς εἰς Ἀσίαν, πρῶτος δὲ τοῦ πρὸς Σέλευκον ἀψάμενος πολέμου ἡττήθη τε καὶ ἀπέθανε (Π. Χ. 286) καὶ εἰς Λυσιμάχειαν θάπτεται, ἐν τῷ Λυσιμαχείῳ ὑπ' Ἀλεξάνδρου τοῦ υἱοῦ, τῶν δὲ αὐτοῦ κρατεῖ Σέλευκος (2).

§. 51. Θανόντος δὲ λάθρα καὶ τούτου Πτολεμαῖος Κεραυνὸς ὁ κτείνας Θρᾳκῶν ἦρξεν ἅμα καὶ Χερσονήσου καὶ ἃ πρότερον προσῆκε Λυσιμάχῳ (3). Μακεδονίας τε ὁ αὐτὸς οὐ πολλῷ ὕστερον ἐκράτησε καὶ Ἀντιόχῳ τῷ Σελεύκου ἐσπείσατο ἑαυτῷ τὰ ἐν Εὐρώπῃ βεβαιῶν τοῦ Λυσιμάχου κτήματα. Ἔτει δὲ μετὰ ταῦτα δευτέρῳ Γαλατῶν στίφη ἄφνω ἀπ' ἄρκτου Μακεδονίαν ἐπιτρέχουσιν, οἷς Πτολεμαῖος ἀντιστῆναι τολμήσας ἑάλω καὶ ἀπέθανεν (4). Οἱ οὖν Γαλάται ἐκ Μακεδονίας ὑπὸ Σωσθένους ἐκβληθέντες (Π. Χ. 280) Θράκην ἐπίασιν Λεονορίου καὶ Λουθαιρίου ἡγουμένων, καταβάντες δ' εἰς Ἑλλήσποντον ἁπάσης ἐκράτησαν Χερσονήσου ἀπάτῃ καταλαβόντες Λυσιμάχειαν. Εἶτα δὲ (Π. Χ. 279—278) ἔριδι ἐνταῦθα διαστάντες ἀπεχώρησαν, οἱ μὲν πρὸς Βυζάντιον, οἱ δὲ πρὸς Ἑλλήσποντον καὶ τὴν Ἀσίαν (5)· ἕτεροι δέ τινες τῶν ἐξ Ἑλλάδος ἰκομένων Γαλατῶν περὶ τὸν Εὔξεινον τὰς ἕδρας δοκοῦσι πήξασθαι, βασίλειον ἱδρύσαντες *Τύλη* καλούμενον (1). Εἰ δέ γε ὑπ' Ἀντιγόνου τοῦ Γονατᾶ ἐκβληθέντες παρὰ Λυσιμάχειαν πάντως κατέλιπον Χερσόνησον, οὐ δῆλον, παραμεῖναι δέ τινες φαίνονται (2). Ἀντίοχος γὰρ Α' ὁ Σελεύκου, εἰ καὶ παρ' Ἀντιγόνου τοῦ Γονατᾶ ἐν εἰρήνῃ τὰς πατρῴας κτήσεις ἀπολαβεῖν φαίνεται, οὐ μέν τοι καὶ Χερσονήσου ἄρξαι, ἀλλὰ πολεμῆσαι Γαλάταις ἐν Ἀσίᾳ, Ἀντιόχου τοῦ Β' τῇ οἰκείᾳ προσοικειωσαμένου Χερσόνησον (Π. Χ. 262) (3).

§. 52. Ἀντιόχου δὲ τοῦ Β' θανόντος (Π. Χ. 247) Πτολεμαῖος ὁ Εὐεργέτης Αἰγύπτου βασιλεὺς, Σύροις πολεμῶν, ἄλλα τε τῆς Ἀσίας κατεστρέψατο, καὶ δὴ καὶ Χερσόνησον (4). Ἧς ἐν τούτῳ τοῦ χρόνου ὡς ἐπὶ τὸ πολὺ ἤνθει Λυσιμάχεια Αἰγυπτίων ἀποστᾶσα, Πτολεμαίου βασιλεύοντος τοῦ Φιλοπάτορος, πολλὰ δ' ὑφισταμένη Θρᾳξὶν ὑπ' Αἰτωλοῖς ἑαυτὴν ἔταξεν στρατηγὸν ἐκπέμψασι καὶ φρουράν, ἀσφαλῆ τῶν ἐπιδρομῶν καταστήσασι τούτοις τὴν Χερσόνησον πᾶσαν (5). Οὕτω δ' εἶχεν, ἕως Φίλιππος ὁ Γ' Μακεδὼν, ῥέκτης βασιλεὺς (Π. Χ. 202) Αἰτωλοῖς πολεμῶν, Λυσιμάχειαν εἶλε τὴν ξύμμαχον τοὺς στρατηγοὺς ἐκβαλὼν καὶ τοὺς φρουροὺς, πολλὰ δ' ἔτι τῆς τε Θράκης καὶ Χερσονήσου, Ἐλαιοῦντά φημι καὶ Ἀλωπεκόννησον, Καλλίπολίν τε καὶ Μάδυτον, ἑαυτῶν προδιδομένων, Σηστὸν δὲ βίᾳ ἑλὼν προσεποιήσατο (6). Ἡττηθέντος δὲ Φιλίππου παρὰ Κυνὸς Κεφαλαῖς (Π. Χ. 197) ἡ Χερσόνησος τούτου μὲν ἀπηλλάγη, δυσὶ δ' ἠπειλεῖτο μετ' οὐ πολὺ πολεμίοις, Θρᾳξὶ τοῖς ὁμόροις ἐπιτρέχουσι καὶ Λυσιμάχειαν κατασκάψασι (7), καὶ Ἀντιόχῳ τῷ Μεγάλῳ, Σύρῳ, ὃς (Π. Χ. 195) τὴν παππῴαν γλιχόμενος ἀρχὴν ἀνακτήσασθαι, διέβη εἰς Ἑλλήσποντον, καὶ Μάδυτον γῇ τε καταλαβὼν καὶ θαλάσσῃ τῆς Χερσονήσου πάσης ἐκράτησεν· οἷα δὲ πατὴρ ἄρχων Λυσιμάχειαν ἀνάστατον ὑπὸ Θρᾳκῶν γενομένην συνῴκιζε, τείχη καὶ οἰκίας ἀνοικοδομούμενος, καὶ πάντ' αὐτοῖς τὰ προσήκοντα πορίζων. Ὅπως δὲ ἀσφαλεστέρους ποιήσεται κατὰ Θρᾳκῶν, τὸ μὲν τῆς στρατιᾶς εἰς Θράκην ἦγε μεθ' ἑαυτοῦ, τὸ δ' ἐν Λυσιμαχείᾳ εἰς φυλακὴν κατέλιπεν (1). Βαρέως δὲ ταῦτα οἱ Ῥωμαῖοι ἤδη τοῖς Ἑλλήνων μισγόμενοι πράγμασι φέροντες, πρέσβεις πρὸς Ἀντίοχον πέμπουσι. Τοῦ δὲ περὶ τῶν ὅλων συνεδρίου γενομένου ἐπετάσσετο Ἀντίοχος παραχωρεῖν ὧν ἔφθη προειληφὼς πάντων. Οὗτος δὲ ἀποκρινόμενος ἠξίου μὴ σπουδάζειν αὐτοὺς καὶ πολυπραγμονεῖν τῶν κατὰ τὴν Ἀσίαν· οὔτε γὰρ αὐτὸς τὰ ἐκείνων περιεργάζεται. Εἰς δὲ Εὐρώπην ἔφασκε διαβεβηκέναι ἀνακτησόμενος τὰ κατὰ τὴν Χερσόνησον καὶ τὰς ἐπὶ Θράκης πόλεις ὡς αὐτῷ μᾶλλον προσηκούσας· εἶναι μὲν γὰρ ἐξ ἀρχῆς τὴν δυναστείαν ταύτην Λυσιμάχου. Σελεύκου δὲ πολεμήσαντος καὶ κρατήσαντος τῷ πολέμῳ, πᾶσαν τὴν Λυσιμάχου βασιλείαν δορίκτητον γενέσθαι Σελεύκου· μετὰ δὲ ταῦτα κατὰ τοὺς τῶν αὐτοῦ προγόνων περισπασμοὺς ἐν τοῖς ἔξῆς χρόνοις, πρῶτον μὲν ἀφελόντα Πτολεμαῖον τὸν Κεραυνὸν σφετερίσασθαι τὰς πόλεις, δεύτερον δὲ Φίλιππον· Λυσιμαχεῖς δὲ παραλόγως ἀναστάτους ὑπὸ Θρᾳκῶν γενομένους οὐκ ἀδικεῖν Ῥωμαίους κατάγων καὶ συνοικίζων. Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσαν τὸν σύλλογον (2).

